ὃς μὲν ἐν ἀρσενικοῖσι παρών, Μήνη δὲ τ' ἐναλλάξ,
γεννῶσιν βασιλῆας ὑπερθύμους τε δυνάστας.
Ἀμφότεροι φωστῆρες ἐν ἀρσενικοῖσιν ἐόντες,
θηλυτέρης Κύπριδός τε καὶ ὡρονόμοιο κατιθύ,
ἀρσενικοῖς ἔργοισιν ἀναγκάζουσι γυναῖκας
τέρπεσθαι, μέγα θαῦμα· γυναιμανέες γὰρ ἐοῦσαι
ἀργαλέως γαμέουσιν ἐς ἀργαλέην φιλότητα.
Κριὸν ἐποπτεύων Κρονίδης ἐπίκεντρος ὑπάρχων
ἢ καὶ σκόρπειον κυανόχροον οἶκον Ἄρηος
ἐσθλὸς ἔφυ, ῥέζει δὲ καὶ ἀνέρας ἡγεμονῆας
ἄρχοντάς τ' ἰδίης πάντοτε πραγματείης.
Ἑρμείας καὶ Θοῦρος ἐπὴν τετράγωνοι ἔωσιν,
πολλάκι κινδύνους περὶ χρήματος εὑρίσκουσιν.
ἢν δ' ἄρα καὶ δύνωσι, κακίονες οἵδε, μάλιστα
Ζηνός ἄτερ, μόρον αἰνὸν ὑπεκφεύγουσι δυναστῶν.

20. *μίσγουσιν* Gron. et LH. „*σμίγουσιν* Holst.“ Mrg. *μίγνουσιν* Mscr. t. Gron. (in annott.) *ἑταιρίσιν τ'* LH. et Mscr. t. Gron. „*ἑταιρίσι τ'*, sed non opus. „Mrg. — *λαφύραις* Gr. et LH. *λαθούραις* coniec. Gron. (in annott.) Reposuimus *λάφυρα*. — Aliquando conieci *κασαύραις*. Rigler.

22. *κέντρον* Mscr. t. Gr. (in annott.)

23. *ῥέξουσι* LH.

24. *ἢν τούτοις ἰσόῤῥοπ.* Gron. *ἢν τ. ἰσ.* LH. „al. *ἑρμῆς δ' ἢν τούτοις ἐπισόῤῥοπος ἀντιγένοιτο* „Mrg. In ora exempl. script. *ἀντηται τισισοῤῥ.* t. Gron. *τοῖσιν* vel *Ἑρμῆς δ' ἢν τούτοις* vel *τούτοισιν* Dorvill. p. 312. Nobis pro *ἢν* videbatur *εἰ* scribendum. Atque omnino omnibus locis, ubi *ἢν* optativo est iunctum, mutandum est in *εἰ*, aut pro optativo, quod fere ubique facillime fieri potest, coniunctivus reponendus. (vd. prooem.)

27. *δ' ἔτ'* LH.

30. „*κατειθὺ* Mscr. *κατευθὺ* Holst.“ Mrg.

35. *σκορπίου* Gr. et LH. *σκόρπειον*. Axt.

36. *ῥέζει* Gr. (in corrig.) *ῥέξει* LH.

37. *πραγματείης* Mscr. t. Gr. et Mrg. *πραγματίης* Gr. et LH. Fortasse *ἄρχοντας τε δίκης ἐς πάντοτε πραγματοειδεῖς*.

39. *χρώματος* Gr. et LH. *σώματος* vel *χρήματος* potius, Dorvill. p. 641.

41. *μόρον αἰνὸν οὐκ ἐκφεύγουσι δ.* Gr. et LH. *μόρον αἰν. ὑπεκφ.* Dorvill. p. 496 et 678.

Ἄρης καὶ Παφίη κοινὴν ὁδὸν ἰθύνοντες
Μήνην εὖτ᾽ ἂν ἴδωσι, λέχος τεύχουσ᾽ ἀθέμιστον,
συγγενικὰς δ᾽ αὐτοῖσιν ἐφαρμόζουσι γυναῖκας·
ἢν δὲ Κύπριν καλὴν πολιὸς Κρόνος ἀγκαλίσαιτο
δυσγαμίην καὶ δυστοκίην ῥέζουσι γυναιξίν,
οὐδέ τι κουριδίους ἄνδρας κρατέουσ᾽ ἄχρι γήρως,
οὐδὲ τέκνοις γλυκεροῖς ἐπὶ χείλεσι μαζὸν ἔθηκαν.
στειρώδεις γὰρ ἔασιν ἀχρήϊά τ᾽ ὠδίνουσιν.
Ἀντίον Ἠελίοιο φάσιν λύσασα Σελήνη
μὴ Κρόνῳ ἀντήσειε· τίς ἂν τότε φῶς ἐσίδοιτο;
δύσμορος, ὃς κακὰ πολλὰ παθὼν Ἀΐδόσδε κάτεισιν·
χροιὴν μὲν φορέουσιν ἀμετροβίων ἐλεφάντων,
ὄχθους δ᾽ ἀμφὶ δέμας κακοελκέας ἀμφιβαλοῦνται,
δάκτυλα σηπόμενοι λιποσαρκέα νηλέϊ λύθρῳ·
ταῦτα δ᾽ ἄτερ Ζηνός τε καὶ εὐπλοκάμου Κυθερείης
ἔσσεται, ὁππότ᾽ ἐκεῖνοι ἀπόστροφοι ὦσι Σελήνης.
Ἑρμῆς ὡρονομῶν Μήνης μέτα καὶ Κυθερείης,
δύνοντος Κρονίδαο, θεῶν μυστήρια δρῶσιν,
ἢ μούσης ἅπτονται ἐϋῤῥύθμοιο λύρης τε,
ἠὲ πάλην φιλέουσιν ἀμύμονα παγκράτιόν τε.
Ἑρμῆς καὶ Κυθέρεια σὺν ἀλλήλοισιν ἐόντες
ῥέζουσιν μούσης ἐπιΐστορας εὔφρονας ἄνδρας·
ἢν πως καὶ κερόεσσαν ὁμοῦ Μήνην ἐσίδωνται
Ἑρμῆς φωσφορέουσαν, ἀτὰρ λιποφεγγέα Κύπρις,

43. *εὔτ᾽ ἂν* LH.

44. Fortasse *συγγενίδας.* Axt.

46. *ῥέζουσι.* LH.

47. *οὐδέτι* Gr. *οὐδ᾽ ἔτι* LH. — *γήρους* Gr. et LH. Nos: *γήρως.*

49. *ὠδείνουσιν* Gr. *ὠδίνουσιν* LH.

51. *Κρόνῳ* Gr. *Κρόνον* LH. „*εἰ Κρόν.* idem valet.“ Mrg. — *φὼς* Gr. *φῶς* LH. (et ita vertit Gr.) *τὶς* Gr. et LH.

52. *ἄϊδος δὲ* Gr. *ἀΐδόσδε* LH. et ita Dorvill. p. 332.

54. *ἀμφικαλοῦνται* Holst. t. Mrg. — Pro *ὄχθους* fortasse *ὄγκους* legendum.

55. *σειτόμενοι* Gr. *σηπόμενοι* LH.

58. *μετά* Gr. et LH.

60. *ἢ μούσης ἅπτοντ᾽ ἢ λύρης εὐρύθμοιο* Gr. *ἅπτονται ἢ λύρ.* LH. *ἅπτοιτ᾽* Mscr. t. Mrg. Pro *λύρης* reponendum *πηκτίδος* opinatus est Dorvill. p. 371. *ἢ μούσης ἅπτονται εὐῤῥύθ. λύρης τε* vel *ἢ μούσης ἅψαντο λύρης τ᾽ ἠϋῤῥύθμοιο.* Axt.

61. *πάλιν* Mscr. t. Mrg.

63. *ῥέζουσιν* LH.

Ζεὺς Κρόνος ἀμφότεροι κέντρων ὅτ' ἂν ἀ
ἀνθρώποις διδόασι τύχης πολυήρατα δῶρ
καὶ μεγάλους ῥέζουσι, καὶ ἐς βασιληΐδας
πολλάκις ἤνεγκαν, τιμήν τε φέρουσι μεγ
Ἑρμείας Φαέθων τε μεσουρανέοντες ἔθηκ
ἄνδρα μέγα πλούτῳ γαυρούμενον εὐτεκνίη
καὶ φιλίην παρέχουσι πρὸς ἀνέρας ἡγεμο
καὶ δόξῃ μεγάλῃ γαυρούμενον, αἴ κεν ἴδη
εὐκέραον Μήνην συναφὴν τούτοις ἐπέχουσ
Πάντοτε μὲν κέντροισιν ἐπὼν κορυθαίολο
τὴν πρᾶξιν παρέχων τοῖάπερ ἐκτελ
ἤ τοι λαξευτὰς ἢ τέκτονας ἢ λιθοεργούς.
Ἠέλιος δ' ἢν τῷδε συνῇ, πυροεργέας ἄνδ
ῥέζει χαλκοτύπους, ἢ φυσητὰς ὑέλοιο,
ἢ βαφέας μογεροὺς, ἢ κλιβανέας σκοτοεργ
οὗτοι γὰρ καὶ νυκτὸς ἀγρυπνητῆρες ἐόντες
νύκτα μὲν ἐργάζονται, ἐν ἤματι δ' ὑπνώο
Πάντοτε νυκτερινοῖσι μεσουρανέων Κρόνος
ῥέζει κηπουροὺς ἠδ' ἀργαλέους ὑδραγωγο
ῥέζει δ' ὑδροφόρους πολυπήμονας, οἵ τ' ἐ
κευθμῶνας δύνουσιν ἀεικέος εἵνεκα μισθο
ἢ παρύγροισι τόποισι παρήμενοι ἐργάζοντ
μή ποτε τῶν ἰδίων τι κτώμενοι ἐκ χαμάτ
Ἑρμείας διάμετρον ἔχων Κρόνον ἠδὲ Σελ

66. Fortasse *Ζεύς δὲ Κρόνος τ' ἀμφω.*

67. *πολυπείρατα* Gr. et LH. *πολυήρατα* Dorvill. p. 643.

72 et 73. „Hi duo versus in calce pag. adscripti erant in Mscr.“ Mrg.

73. Nos non tam repetitio eiusdem vocis offendit, quam oratio nimis dissoluta: quamobrem aliquando coniecimus *γαυρώσεται*. Gronovius vertit, quasi legeretur *ἴδηται*.

75. *κέντροισι* LH. *ἔπων* Gr. *ἐπὼν* LH. et sic Dorvill. p. 643.

76. Coniecі: *τὴν* … *τάπερ ἐκτελέσειεν.*

79. *ὑέλοιο* Gr. et … *ὑάλοιο*?

84. *ἢ δ'* Gr. *ἠδ'* … 332 et 335.

85. Malim *ὑπὸ* …

87. *παρύγροισι* … *νύγροισι.* Axt. *πα*… Fortasse *πανήμερο*…

88. Malim *μή π*…

89. *διὰ μέτρον* … sic Gr. (in annott…

κεντρωθεὶς δ' αὐτοῖς κατεναντίον ὡρονόμοιο,
ἐμμανέας τεύχει ἠδὲ φρενοβλαβέας·
εἰ δὲ ῥοπῆς μὴ μοῖρα τύχῃ, καθέτου δ' ἀποκλίνῃ,
ἐσκότισεν μούνῳ κλεψίφρονι ῥεύματι κείνους,
καὶ φρένας ἠλλοίωσε, παρέπλαγξεν δὲ νόημα·
ἔσθ' ὅτε σωφρονέουσι, καὶ ἔσθ' ὅτε μαργαίνουσιν.
Πάντας ἀπ' Ἠελίοιο φυγεῖν καλὸν, ἀλλ' οὐκ Ἄρην·
νικᾶται γὰρ Ἄρης μὲν ὑπ' αὐγαῖς Ἠελίοιο,
αἰδεῖται δ' Ἄρης καθορῶν φάος Ἠελίοιο·
οὐδ' ἔτι τὴν προτέρην ἔσχε κακοφροσύνην.
Ζεὺς ῥέξει κρατέοντας ἐλαιοφόροιο παλαίστρης·
Κύπρις πορφυρέοισιν ἐν εἵμασιν ἀρχιερῆας,
καὶ Κρόνος εὐδόξως ἀγορανόμον ἐστεφάνωσεν·
Ἄρης δ' εὐτόλμους στρατιῆς ἡγήτορας ἄνδρας·
Ἥλιος δ' ὕπατον, Μήνη δέ τοι ἀρχιδικαστήν·
Ἑρμῆς κοσμητῆρας ἑῆς ἐποίησε πόληος·
Αἰγόκερῳ Κύπρις καὶ Ὑδροχόῳ παρεοῦσα
σύν τε Κρόνῳ καὶ Ζηνὶ κακῇ κατὰ πάντα τέτυκται.
ἢν συναφὴν πρώτοιο λάβῃ πολιοῖο Κρόνοιο,
Ἄρεος εἰςβλέψαντος ὁμοῦ Μήνην Παφίην τε
σύν γε Κρόνῳ βλαβερῷ, δυστλήμονες ἀνέρες οὗτοι
μαινόμενοι βαίνουσιν ἑῆς ἐπὶ λέκτρα τεκούσης·

90. *αὐτοῖς* Gr. et Mscr. t. Mrg. *αὐτός* LH. quod verum videtur.

91. *ἐκμανίας κ. τ. λ.* LH. Nos coni. *ἐμμανέας τεύχει τε φρενοβλαβέας τε τίθησιν.* — Aliquando coni. *ἐμμ. τ' ἄνδρας τεύχει ἠδὲ φρένα βλάπτει.* Rigler.

92. *ἀποκλείνῃ* Gr. *ἀποκλίνῃ* LH.

95. *ἔσθ' ὅτε* utroque loco Mscr. t. Mrg.

96. *ἀλλ' οὐκ Ἄρηα* Gr. et LH. *ἀλλ' οὐκ Ἄρην* vel *Ἄρεα δ' οὐχὶ* corr. Dorvill. p. 496.

97. *Ἄρης ὑπὸ* Gr. et LH. *ἄρης μὲν ὑπὸ* Spitzner. (de versu hom. p. 156.). Fortasse *νικᾶται δ' Ἄρης μὲν* etc. et infra *αἰδεῖται γάρ.* Axt. Nonne duo hi versus transponendi? Rigl.

99. *οὐδέτι* Gr. sed vertit: *neque amplius.* *οὐδ' ἔτι* LH. Ego coni. *οὐδ' ἔτι τὴν προτέρην ἔσχεν κακίην φρεσὶν ἧσιν.* Axt.

100. *ῥέξει* LH. *ἀεθλοφόροιο* aut *ἐλαιοβρόχοιο* mavult Dorvill. p. 613.

103. *ἡγέτορας* LH.

104. *ἀρχιδικάτην* Mscr. t. Mrg.

106. *αἰγοκέρῳ* LH. *παρέουσα* Gr. et LH. Nos: *Κύπρις δ' Αἰγόκερῳ τε καὶ*, vel *Αἰγοκερῆϊ καὶ.*

108. *ἣν* Holst. t. Mrg. *πρότοιο* LH. „*πολιόοιο* Mscr." Mrg.

109. *Ἄρηος* Gr. et LH. „*ἄρεος* Holst." Mrg.

110. *σύν τε* Gr. et LH. *σύν γε* Rigl. Olim coni: *σὺν δὲ Κρόνον βλαβερόν.* Axt.

ἢν δ' ἀκτῖνα λάβωσι πυραυγέος Ἠελίοιο,
μητρυιαῖς μίσγοντ' ἢ παλλακίσιν γενετήρων·
καὶ προτέρην κακίην ἔσβεσεν Ἥλιος.
Μήνη θηλυτέροισιν ἐπεμβαίνουσα τόποισιν
ἀντίον Ἠελίοιο καὶ ὡρονόμοιο τυχοῦσα,
ἀνέρα γεννήσει μόνον οὔνομα, πάντα δὲ θῆλυν,
πάντα γυναικὸς ἔχοντα καὶ αἴσχεα καὶ φιλότητα.
Ἢν δὲ μεσουρανέῃ Φαίνων Ἄρης τε κραταιός,
καὶ στάχυν ἄῤῥενα δεινῷ ἀποτμήξειε σιδήρῳ.
Ἢν δὲ Κύπρις διάμετρον ἔχοι Κρόνον ἠδὲ Σελήνην,
Ἄρης δ' ἢν τετράγωνον ἴδοι καλὴν Ἀφροδίτην,
Ἑρμείας δ' ἄρα κέντρον ἔχοι μέσον, εἰ δέ κεν οὕτω
μαρτυρίην τούτῳ καὶ Κρόνος ἀμφιβάλλοι,
εὐνούχους στείρους οὔτ' ἄῤῥενας οὔτε γυναῖκας,
ἄχνους, αἰὲν ἐόντας ἀπειρήτους φιλότητος·
ἔσθ' ὅτε δ' ἑρμαφρόδιτον ὁμώνυμον ἀθανάτοισιν
δισσὰς, ἀχρήστους εἰς ἓν ἔχοντα φύσεις·
Υἱὸς θ' υἱωνός τε Κρόνου Ζεὺς ἠδὲ καὶ Ἑρμῆς
ἀμφότεροι βαίνοντες ὁμοῦ, καὶ κέντρα λαβόντες,
τεύχουσιν ῥητῆρας ἢ ἐκ λόγου ἢ καλάμοιο,
γραπτῆρας πινυτοὺς, ἢ καὶ πολυκερδέας ἄνδρας,
ἐμπορίην φιλέοντας, ἀεὶ πρηκτῆρας ἐόντας.
Μήνη φωσφορέουσα καὶ Ἄρεϊ συμβάλλουσα

113. *μίσγονται ἢ* LH.

114. Fortasse: *καὶ προτέρην κακίην σέλας ἔσβεσεν ἠελίοιο.* Rigl.

115. *θηλυτέροισιν* Mscr. t. Mrg.

117. *θῆλυ* Gr. et LH. *θῆλυν* Dorvill. p. 249.

120. *στάχυς* LH. „forte hic deest versus, lege *ταχὺν.— στάχυν* Msc. *καὶ ταχυνα πανόδυρτον* in mrg. „Mrg.“ *γρ. καὶ ταχυνὸν πανόδυρτον ἀποτμ.* In mrg. Mscr.“ Gr. Ex scriptura marginali concicere licet: *καὶ στάχυν ἂν πανόδυρτον ἀποτμήξειε σιδήρῳ.* Rigler. *δεινόν* Gr. et LH. Nos: *δεινῷ.*

121. *διὰ μέτρον* Gr. *διάμετρον* LH. et sic omnibus fere locis.

124. *ἀμφιβάλλοι* Mscr. t. Gr. et Mrg. Nos coni: *μαρτυρίην τούτῳ αἰνὸς* (vel *δεινὸς*) *Κρόνος ἀμφιβάλοιτο.*

126. *ἄχνοας* Gr. et LH. *ἄχνους* Dorvill. p. 332. *αἰνότερ' ὄντας* Gr. *αἰνοτέρ' ὄντας* LH. „*αἰνοτέροντας*“ Holst.“ Mrg. *αἰνογέροντας.* Dorvill. p. 332. *αἰὲν ἐόντας.* Axt.

128. Nos coni: *δισσάς, ἀχρήστους δὲ φύσεις εἰς σῶμ' ἓν ἔχοντα.*

129. *Κρόνον* Gr. *Κρόνου* LH. et Gr. in corrig.

131. *καλάμοισι* LH.

ἕκτον ἔχοντι τόπον, σίνος ἀνδράσιν αὐτίκα ῥέζει·
ἀμφὶ πόδας τέμνονται ὑπ' ἀνδροφόνοιο σιδήρου,
χωλοὶ, μουνόποδες, ξύλινον προσκείμενοι ἄρθρον,
λύπην αἰείμνηστον ἐὸν πόδα παπταίνοντες.
Ἆρες Ἄρες κακοεργὲ καὶ ἀνδράσι καὶ μακάρεσσιν
καὶ πόλεσιν καὶ νανσὶ καὶ ἠέρι καὶ πελάγεσσιν
καὶ καρποῖς γαίης καὶ εὐρείθροις ποταμοῖσιν·
εἵνεκά σου πόλιες μὲν ὑπαὶ πυρὸς ἐμπίπρανται,
καὶ νῆες πελάγεσσιν ἐπιπλώουσαι ὄλοντο,
καὶ ποταμοὶ ξηροῖσιν ἀνύδατοι ἐν στομάτεσσιν,
δένδρεά τ' ὠλεσίκαρπα καὶ ἀνέρες αἰνογένεθλοι·
οὓς μὲν γὰρ μογερῶς πυρικαέας ὤλεσας ἄνδρας,
οὓς δὲ καὶ ὠμοβόροισιν ἕλωρ θήρεσσιν ἔδωκας,
ἄλλον δ' ἀκλειῶς μεθ' ἑοῦ μόρου ἐσταύρωσας,
οὔ τέτατ' ἀνδροφόνοις περὶ δούρασιν ἡλοπαγὴς χείρ·
νηλεές, οὐκ ἄρα σοί γε πατὴρ ἦν αἰγίοχος Ζεύς,
οὐδ' Ἥρη μήτηρ, ἀλλ' οὔρεα πικρά σ' ἔτικτεν,
καὶ Λύσσα στυγερὴ καὶ Χάος οὐλόμενον.
Εἰ δὲ Κρόνον λείψειε Σεληναίη κατὰ μοῖραν,
τεύχει ῥευματικοὺς ἠδ' ἀσθενέας κατὰ σάρκα,
τεύχει δ' ἀργαλέους ὑδρογάστορας, οἵ κεν ἔπειτα
ὄστεα χαυνωθέντες ἀφ' ὕδατος οὐλομένοιο

136. *ἀμφιπόλας* Mscr. t. Mrg. *ἀμφὶ πόδας* LH. et sic Gron. (in annott.)

137. *χουλοὶ* Gron. *χωλοὶ* LH. et sic Dorvill. Idem coni: *κυλλοὶ* p. 613.

138. *ἀείμνηστον* Gron. *αἰείμνηστον* LH. et sic Dorvill. p. 643.

140. Hic versus abest ab apographo Halensi.

141. Fortasse *ἠδ' εὐρείθρ.* — *εὐρείθροις* Gr. et LH. *εὐρείθροις* Mscr. t. Mrg. sic etiam Dorvill. Idem praeterea *εὐροθίοις* vel *εὐρυθρόοις* p. 643.

142. *ὑπὸ* Gr. et LH. *ὑπαὶ* Holst. t. Mrg. et sic Dorvill. p. 142.

144. *ξηροὶ μὲν* Gr. et LH. *ξηροῖς μὲν* vel potius *ξηροῖσιν*. Rigler.

148. *μεθ' ἑοῦ μόρου* Gr. et LH. *ἄλλον δ' ἀκλειῶς μεθέποντ μόρον* vel *μεθ' ἑὸν μόρον* Dorvill. p. 361. nec tamen vulgatam damnavit.

149. *οὔτε τάδ' ἀνδροφόνοις περὶ δούρασιν ἡλοπαγῆ χεὶρ* (*ἡλοπαγῆ χεὶρ* LH.) Gr. et LH. „f. *σάδ'*" Mrg. *ἡλοπαγῆ.* Holst. t. Mrg. *οὔτασε δ' ἀνδρ. π. δουρ. ἡλοπαγὴς χείρ*; deinde: *οὐτιδάν', ἀνδρ. π. δ. ἡλ. χείρ.* Dorvill. p. 381. Nos coni: *οὔ τέτατ'* vel potius *τάθη* — *ἡλοπαγὴς χείρ.*

151. *οὐδ'* Gr. *οὔτ'* LH.

152. Ego coni: *καὶ Λύσσα στυγερὴ ἢ καὶ Χάος οὐλόμενόν περ.* Axt.

154. *κατὰ σάρκα* Gr. *κατὰ σῶμα* LH. — Fortasse *κατὰ σάρκας.*

ἔγκυον ὠδίνουσιν ἑὸν μόρον ἐντὸς ἔχοντες.
Ἄρεα δ' ἣν λείψασα Σεληναίη φορέοιτο,
ἀνέρας ἐκτήκει πολλάκις ἐκ κρυφίμων,
ἥπατος ἢ σπληνὸς τρυχουμένου ἠὲ νεφροῖο,
ἢ κραδίην παρέτριψε νοήμονα, μητέρα βουλῆς,
πνεύμονά θ' ἑλκήεντα, κακὴν νόσον ἀνθρώποισιν·
οἵπερ δὴ μογέοντες ἀποπτύουσιν ὄλεθρον
βηχὸς ἀνιάτοισιν ἐλαυνόμενοι στροφάλιγξιν,
λεπταλέοι θυμοῖσι καὶ ἀδρανέες μελέεσσιν
πίνοντες καὶ ἔδοντες, ἀειθανὲς ἦτορ ἔχοντες.
Ἄρης ἡμερινοῖσι μεσουρανέων τάδε ῥέζει·
πρῶτον μὲν γονέων βίον ὤλεσε, καὶ λέχος αὐτῶν
χωρίζει θανάτῳ κακῷ ἠὲ διχοστασίῃσιν·
αὐτοὺς δ' ἐν πολλοῖσιν ἐγύμνασε πήμασιν αἰεί,
θλίψεσιν οὐλομέναις καὶ ἀργαλέαις πενίῃσιν,
κινδύνοις, βλαβέεσσι, δανείσμασιν, ἐνδείῃσιν·
ἄστεγοι ἠδ' ἀγύναιοι ἄτεκνοί τ' ἐν νεότητι
πολλάκι καὶ θανάτῳ στυγερῷ θνήσκουσι σιδήρῳ·

159. ἀνέρα σ' ἐκτίκει Gr. ἀνέρας ἐκτ. Idem. (in annott.) ἀνέρας Mscr. t. Gr. et LH. Ego coni: ἀνέρας ἐκτίκει δὴ πολλάκις ἐκ κρυφιμαίων. Rigler. Fortasse: ἀνέρας ἐκτήκει τότε πολλάκις ἐκ κρυφίμων γε. Axt.

160. τρυχώμενον Gr. et LH. τριχώμενος Mrg. τρυχωμένου Gr. (in annott.) Nos: τρυχουμένου.

161. καὶ LH.—Fortasse παρέτρεψε. Axt.

162. τ' Gr. et LH. Nos θ'.

164. „ἀνιαροῖσιν" Mrg. βηκὸς Gr. βῆκος LH. Correxi βηχός. Rigler.

165. λεπταλέοις Gr. et LH. |λεπταλέοι Dorvill. p. 643.

166. πείνοντες Gr. et LH. „πίνοντες Hist. lego πεινῶντες" Mrg. (sed lineola transverse per has voces ducta est) et sic Dorvill., cui πίνοντες minus probatur. p. 643.

167. ῥέξει LH.

168. ὤλλυσι Gr. et LH. Nos corr. ὤλεσε.

169. διχοστασίῃ τε Gr. et LH. Nos corr. διχοστασίῃσιν. Fortasse χωρίζει θανάτῳ τε κακαῖς τε διχοστασίῃσιν.

170. ἐγύμνασεν ἤμασιν Gr. ἐγύμνασε πήμασιν LH. et sic coni: Dorvill. p. 332. πολλαῖσι ἐγύμνασεν ἤμασι Mscr. t. Mrg. „πολλαῖσιν super appositum a correctore quodam" Gr.

171. ἀργαλίαις Gr. ἀργαλέαις LH. πενίαισιν Gr. et LH. „πενίαισιν Holst." Mrg. πενίῃσιν Dorvill. p. 332.

172. ἐνδειέσσιν Gr. ἐνδέεσσιν LH. ἐνδείῃσιν Gr. (in annott.) et Dorvill. p. 332.

173. ὥστε γονῇ δ' ἀγύναιον ἄτεκνόν τ' Gr. ἄστεγον ἠδ' LH. ἄστεγον ἠδ' ἀγύναιον vel potius: ἄστεγοι ἠδ' ἀγύναιοι ἄτεκνοί τ' Dorvill. p. 332.

Ζεὺς δ' ἐσιδὼν τοῦτον ἐσθλὸν ἔθηκε τέλος·
Ἄρεα δ' ἣν κατέχῃ, δεινὸν θεὸν, αἰθέριος λίψ,
πολλῶν αἴτιός ἐστιν ἐν ἀνθρώποισιν ἀνιῶν·
λύπας καὶ θορύβους, ἐγκλήματα καὶ σίνος αἰνὸν
ἢ πάθον, ἢ πλώουσιν ἐὴν πάτρην προλιπόντες.
Ἑρμείας, Παφίη, πολιὸς Κρόνος ἣν μὲν ἔχωσιν
τὴν πρῆξιν, ῥέζουσιν ἀμύμονας ἰητῆρας·
εἰ δὲ Ζεὺς ἐσίδοι, πολυόλβους εὐτυχέας τε,
πλούτῳ τιμήεντας, ἀγακλέας ἀνθρώποισιν,
ἤπια φάρμακ' ἔχοντας, ἀνώδυνα φαρμάσσοντας.
Ὅσσαι δ' ἂν κεν ἔχωσιν ὑπὲκ συνόδοιο φυγοῦσαν
Μήνην φωσφρέουσαν ἔτ' ἔμπεδον ὀρνυμένην τε
Ἄρεϊ συμβάλλουσαν ἀνηλεῖ καὶ Κρόνῳ αἰνῷ,
ἔμβρυα μὲν φθείρουσι μινυνθαδίοισι χρόνοισιν,
μηδὲ βροτῶν μορφὴν ἐγγάστριον αὐχήσαντα,
σαρξὶ δὲ θηρείῃσι πανείκελα ῥυζήσασαι
ὠμοτόκοις ὠδῖσιν ἐς ἠελίου φέρον αὐγάς·
αὐταὶ δ' ἀμφὶ πόνοισιν ἀνηλέα κωκύουσαι

175. *Ζεὺς δ' ἐσιδὼν τοῦτον ἐσθλὸν ἔθηκε τέλος* Gr. et LH. *τούτων* Dorvill. p. 332. Equidem coni: *Ζεὺς δ' ἐσιδὼν τοῦτον βιότου τέλος ἐσθλὸν ἔθηκεν.* Rigl.

176. *αἰθέριος λείψ.* Mscr. t. Mrg.

178. *ἢ σίνος* Gr. et LH. *καὶ σίνος* corr. Spitzner. libr. I. p. 157.

179. *ἢ πάθος ἠπλώουσιν* Gr. *ἢ πλώουσιν* LH. et sic Dorvill. p. 332. *ἠπλώουσιν* Mscr. t. Mrg. Ego coni: *πάθον.* Rigl.

180. *Παφίην* Gr. *Παφίη* LH. (loco literae ν rasura apparet.) et sic Dorvill. p. 643. *ἣν κεν* Gr. et Holst. t. Mrg. *ἣν μὲν* LH.

181. *πρᾶξιν* Gr. et LH. *πρῆξιν* Dorvill. p. 643. — *ἕξουσιν ἀμύμονες ἰητῆρες* Gr. et Mscr. t. Mrg. *τεύξουσιν ἀμύμονας ἰητῆρας* LH. *ἤξουσιν* Dorvill. p. 643. Nos: *ῥέζουσιν.*

183. *ἀγακλέας, ἀνθρώποισιν* Gr. *ἀγακλέας ἀνθρώποισιν,* LH.

184. *ἤπια* LH. Hic versus fortasse e sede sua transferendus et collocandus post v. 181. Axt.

185. *ὅσσοι* Gr. et LH. *ὅσσαι* corr. Dorvill. p. 643. *ὑπεξυνόδοιο* LH. et sic Mscr. t. Gr. „*ὑπ' ἐκ συνοδ.* Mscr." Mrg.

186. *ἔμπαδον* Mscr. t. Mrg.

187. *ἢ* Gr. et LH. *καὶ* corr. Spitzner. (de v. h. p. 157.)

188. *φθείρουσιν* Mscr. (t. Gr.) et LH.

190. *θηρίεσσι* Gr. et LH. *θηρείῃσι* Dorvill. p. 643. — *ῥυζήσασαι* Gr. *ῥυξήσασαι* LH.

191. *φέρων* Mscr, t. Gr. et Mrg.

192. *αὗται* Gr. *αὐταὶ* LH. et sic Dorvill. p. 643. — „*ἀμφιπόνοισιν* Mscr." Mrg.

εἰς Ἄϊδος κατίασιν ἀνοστήτοιο μέλαθρον·
εἰ δὲ Ζεὺς ἐσίδοι, ψυχὴν μάλα πολλὰ παθοῦσαν
ἐκσώσει θανάτοιο, κακῶν δ' οὐκ ἔσσετ' ἀρωγός.
Τίπτε μάτην, ἄνθρωπε, θυηπολέεις μακάρεσσιν;
τίπτε μάτην τρισέλικτος ἀν' οὐρανὸν ἤλυθε κνῖσα;
ἴσχεο· οὐ γὰρ ὄνειαρ ἐν ἀθανάτοισι θυηλῆς.
οὐ γάρ τις δύναται γένεσιν μετατρεψέμεν ἀνδρῶν,
ἥ θ' ἅμα νηπιάχοις συγγίγνεται ἀνθρώποισιν,
εὐθύ τε Μοιράων εἱλίσσεται ἀμφὶ μίτοισιν,
κλώσμασιν ἀῤῥήκτοισι σιδηρείοισί τ' ἀτράκτοις·
ῥέζε Κρόνῳ καὶ Ἄρηϊ καὶ Ἑρμῇ καὶ Κυθερείῃ
καὶ Διῒ καὶ Μήνῃ καὶ Ἠελίῳ βασιλῆϊ·
οὗτοι γὰρ κρατέουσι θεῶν, κρατέουσι καὶ ἀνδρῶν,
πόντου καὶ ποταμῶν πάντων ῥοθίων ἀνέμων τε,
καὶ γῆς καρποφόροιο καὶ ἠέρος ἀενάοιο.
Πλησιφαὴς Κρονίωνι συναντήσασα Σελήνη
εὐτυχέας ῥέζει καὶ μακαριστοτάτους.
εἰ δὲ λίποι Κρονίωνα φάει πλήθουσα Σελήνη,
οὐκέτι τὴν αὐτὴν ἐντὸς ἔχει δύναμιν,
ἀλλὰ κακῶν ῥεκτεῖρα πέλει λείπουσα πρὸς αὐτόν·
ἔκφρονας αἰνομόρους ἢ καὶ νοσεροὺς τελέσειεν,
ἀμβλύτερόν τ' ἐτέλεσσεν ἑὸν βίον ἐν καμάτοισιν.
Ἄρης καὶ Φαέθων κατεναντίον ἀλλήλοισιν
ἀνθρώποις ἐπάγουσιν ἀνωμαλίην βιότοιο,
καὶ προκοπῆς στερέουσι καὶ ἐκ φιλίης ἐλάσουσιν.

193. *ἐς* LH.
194. „lego *κακὰ πολλὰ*" Mrg.
195. *δὲ* Gr. *δ'* LH. *ἔσσεται* LH.
197. *κνῖσα* Gr. et Mscr. t. Mrg. *κνῖσσα* LH.
198. *ἴσχεο σὺ* Mscr. t. Mrg. *ἀθανάτοισιν* LH. *θυήλης* Gr. et LH.
199. *μοιρειέμεν* LH. „*μετατρεψέμεν* Holst. alius *μετανειέμεν*" Mrg.
203. *ἄρῃ* Gr. *ἄρηϊ* LH.
204. Fortasse *ἠδ' Ἠελ.*
206. *ῥοθίων τ' ἀνέμων τε* scribi mavult Dorvill. p. 613.
209. *ῥέξει* LH. — Nos coni: *ἀνέρας εὐτυχέας ῥέζει μακαριστοτάτους τε.*
211. Nos coni: *οὐκέτι τὴν αὐτὴν ἔντοσθεν ἔχει δύναμίν γε.*
213. *ἢ νοσ.* Gr. et LH. *τελέσειεν* Gr. „*νοσσέρους τελέσειεν* Mscr. et Holst. al. *ποιήσει*" Mrg. *τελέθει* (ut versus sit pentameter) LH. *ἢ καὶ νοσερούς* Dorvill. p. 406. *νοσηρούς*. Axt. Aliquando pro *τελέσειεν* vel *τελέσει* conieci *μελέεσσιν*. Rigl.
215. *ἀλλήλοισι* LH. Malim *ἀλλήλοιϊν*. Axt.
217. *προκοπῇ στερέουσι καὶ ἐκ φιλίης ὀλάσουσι* Gr. *προκοπῆς στερέουσιν καὶ*

Ἄμφω κέντρον ἔχοντες, ἐπεὶ Διὸς ἔπλετο πλοῦτος,
καὶ δόξαι καὶ σωφροσύναι καὶ πίστιες ἐσθλαί·
ἐκ δ' Ἄρεος πενίη τε κακὴ θόρυβοί τε μάχαι τε,
ἐγκλήσεις μεγάλαι περὶ χρήματος, ἔσθ' ὅτ' ἀγῶνες·
οὗτοι δ' εὔποροί εἰσιν, ἐν εὐπορίῃ δὲ πένονται·
ἢν δὲ μεσουρανέῃ Πυρόεις, τέλος αἰνὸν ἔχουσιν.
Κέντρον ἔχων Φαέθων Μήνης μέτα καὶ Κυθερείης,
ἤν πως φωσφορέουσα Σελήνη τῷδε συνάπτοι,
ἄρχοντας μεγάλους, εὐδαίμονας, ἔμφρονας ἄνδρας,
ἐνδόξους, στροφίοισι καρήατα κοσμηθέντας,
πλούτῳ τιμήεντας, ἀγακλέας ἀνθρώποισιν·
Ἀμφότεροι δύνοντες ὁμοῦ Κρόνος ἠδὲ καὶ Ἄρης,
Μήνης Ἠελίου τε καταντίον ἑστηώτων,
ῥέζουσ' ἐμμανέας, πάσας φρένας ἐξολέσαντες·
οἴονται δ' ὁράαν νεκύων σκιοειδέα μορφήν·
οἱ δὲ καὶ εὐφρονέοντες ἀεικέα πήματ' ἔχοντες
πίπτουσιν συνόδοισι Σεληναίης ὑπὸ ῥιπῆς.
Ἢν δὲ Κρόνου μέσση τε καὶ Ἄρεος ᾖ Ἀφροδίτη,
καὶ Μήνην λεύσσωσι καὶ Ἑρμείαν τετράγωνον,
δρῶσιν φοιβητὰς ἢ μάντιας, οἵ θ' ἱεροῖσιν
ἑζόμενοι ζώουσιν ὀνείρατα μυθίζοντες·
οἱ δὲ καὶ ἐν κατοχῇσι θεῶν πεπεδημένοι αἰεὶ
δεσμοῖσιν μὲν ἔδησαν ἑὸν δέμας ἀῤῥήκτοισιν·
εἵματα μὲν ῥυπόωντα, τρίχες δ' οὐρῇσιν ὅμοιαι

ἐκ φιλίης ὀδ. LH. „σκεδάσουσιν vel ἐλάσουσιν" Mrg. προκοπῆς Gr. (in annott.) ac Dorvill. p. 387.

218. „Lege ἔτ' ἐκ" Mrg.

221. περὶ χρώματος Gr. et LH. χρήματος Dorvill. p. 641.

226. ἔμφρονας Gr. et LH. εὔφρονας Gr. in corrig.

227. ἐνδόξους Gr. εὐδόξους LH.

230. ἠελίοιο καταντ. Gr. et LH. μήνης τ' ἠελίοιο κατ. Gr. (in annott.) ἠελίου τε Dorvill. p. 644.

231. ῥέζουσ' LH. „ῥέζουσιν Holst." Mrg. ἐξελάσαντες maluit Dorvill. p. 644.

234. πίπτουσι Gr. πίπτουσιν LH.

235. ἄρεως Gr. et Mscr. t. Mrg. ἄρεος LH. et sic Gron. in corrig. — ἣν Gr. et LH. Nos ᾖ correx.

237. μάντας Mscr. t. Gr.

239. κατοχαῖσι Gr. et LH.

240. Fortasse: δεσμοῖσιν κατέδησαν. Axt. Nonne δεσμοῖσίν γ' ἐνέδησ.? Rigl.

241. ῥυποῶντα Gr. et Holst. t. Mrg. ῥίπωντα Mscr. t. Mrg. ῥίπτοντα LH. — „οὔρεσσιν Mscr." Mrg. οὔρησιν ὅμαιαι LH. „ὅμοιαι Holst." Mrg.

ἵππων χηροπαγεῖς ὀλοὸν τηροῦσι κάρηνον·
οἱ δὲ καὶ ἀμφιτόμοισι σιδηρείοις πελέκεσσιν
ἔνθεα λυσσώοντες ἑὸν δέμας αἱμάσσουσιν.
Πλησιφαὴς δ' Ἄρηϊ συναντήσασα Σελήνη,
Ζηνὸς ἄτερ Κύπριδός τε, κακὴ κατὰ πάντα τέτυκται·
βλάπτει μὲν βίοτον καὶ πλούσιον ἄνδρα πένητα
ῥηϊδίως ἔῤῥεξε, μινυνθάδιόν τε χρόνοισιν
ἐξαπίνης ἀπόλεσσε βίῃ κακοεργέϊ Μοίρης.
Ἄρεος ἠδὲ Κρόνοιο μέσην δείμαινε Σελήνην,
οὕνεκεν ἀργαλέη πέλεται μογερῆσι τεκούσαις.
τρύχει γὰρ ταύτας κρυφίμων ἄπο· πολλάκι δ' αὐτοὺς
ὤλεσεν ἐν θανάτοισι βιαιοτάτοισι βαλοῦσα,
ἁψαμένους βρόχον αἰνὸν, ἢ ἀραμένους ξίφος ὀξὺ,
ἢ πυρὶ δαιομένους, ἢ ἐν ὕδασι πολλὰ παθόντας.
Ἄρεος ἠδὲ Κρόνου μέσση Κύπρις οὐ καλοεργός·
οὕνεκεν ἀνθρώποισι κακὴ κατὰ λέκτρα τέτυκται.
μίσγει γὰρ δούλῃσιν ἑταιρίσιν, ἃς φιλέοντες
ζήλῳ ἐλαύνονται κακοεργέϊ· πολλάκι δ' οὗτοι
ἀνέρες ὀργιόωντες ἀποκτείνουσι γυναῖκας,
καὶ μόρον αἰνὸν ἔχουσι κακῆς διὰ λέκτρα Κυθήρης.
Ζώδιον ὡρονόμοιο λαχὼν Ζεὺς ἠδ' Ἀφροδίτη
Ἄρηος δύνοντος ἀνηλέος ἠδὲ Κρόνοιο,
πλούσιοι ἐν πρώτοισι καὶ ἐν πυμάτοισι πένητες,
ἀλλ' οὐκ ἐκλείπουσι μάχας θορύβους τε δίκας τε,
εἰ μή πως Φαέθων πυμάτην περὶ μοῖραν ὀδεύσῃ·

242. ὀλοαὶ τήρουσι Gr. et LH. τηροῦσι Holst. t. Mrg. Nos corr. ὀλοὸν.

244. λυσσόωντες Gr. et LH. λυσσώοντες Dorvill. p. 533.

245. ἄρῃ LH.

248. μινυνθαδίοισι LH. μινυνθάδιόν τε Mscr. t. Mrg.

252. αὐτὰς Gr. αὐτὰς etiam Mscr. et Holst. t. Mrg. αὐτους LH.

254. ἀψαμένας — ἀραμένας Gron. Mscr. et Holst. t. Mrg. αψαμένους — ἀραμένους LH.

255. δαιομένας — παθούσας Gr. Mscr. et Holst. t. Mrg. δαιομένους — παθόντας LH.

256. μέση Gr. μέσση LH. et sic corr. Gron. (in annott.) et Dorvill. p. 254.

257. ἀνθρώποισιν LH.

260. ὀργιόωντες Gr. et LH. „leg. ὀργιάοντες“ Mrg. ὀργώοντες Dorvill p. 644. nec tamen illud prorsus damnat.

262. ζωίδιον LH.

266. ὀδεύσῃ Gr. ὁδεύσῃ LH.

εἰ δ' Ἄρης ὥρην κατέχοι Φαίνων τε σὺν αὐτῷ,
δύνῃ δ' αὖ Φαέθων κατεναντίον ἀμφοτέροισιν,
ἐν νεότητι πένητα καὶ ἐς τέλος εὔπορον ἄνδρα
ῥέζουσιν, βιότοιο δ' ἀνώμαλα ἔργα τελοῦσιν.
Εἰ δὲ Κρόνῳ καὶ Ἄρηϊ συνῇ κερόεσσα Σελήνη,
μοίρης ἐντὸς ἔχουσα, συνάπτῃ δ' αὐτίκα τοῖςδε,
ἐντὸς ἔχει κακίην Ἄρεως ἠδὲ Κρόνου αἰνήν,
αἰνός τ' ἀνθρώπων ἔσεται βίος ἠδ' ἐλεεινός,
καὶ πενίῃ καὶ μοῖρα κακῇ· καὶ λάτρια ἔργα
πείσονται, βίοτόν τε ῥοπῇ λείψουσι πρόμοιροι.
Ἡνίκα δ' ἡ Κερόεσσα μέσον πόλον ἀμφιβεβῶσα
νυκτερινοῦ θέματος κατὰ μοῖραν ἰοῦσα φαανθῇ,
Ἠέλιός τ' ἐπίκεντρος ἐν ἀρσενικοῖσι τόποισιν,
γεννῶσιν βασιλῆα, θεὸν βροτὸν ἀνθρώποισιν.
Ἑρμείας δὲ μεσουρανέων, Τιτὰν δὲ σὺν αὐτῷ,
αὐτή θ' ἡ Κερόεσσα καθ' ὡρονόμοιο τυχοῦσα
ἡμερινοῦ θέματος, βασιληΐδος ἐστὶ γενέθλη.
Ταῦτα δέ τοι τελέουσιν, ἐπὴν ἐπίκεντροι ἐῶσιν,
μηδένα τῶν ὀλοῶν κατεναντίον ἐχθρὸν ἔχοντες.
Ἢν δ' ἐπὶ μαρτυρίην Ἄρεως ἐλθοῦσ' Ἀφροδίτη
ὄμμα βαλῇ πανταυγὲς ἐν ἡμερινῇσι λοχείαις,
ἐκ πυρὸς αὐχήσουσι τέχνας μέλανός τε σιδήρου
ἄκμοσι ῥαιστοτύποις μεμελημένοι ἠδὲ καμίνῳ.
Ἑρμῆς δ' οἰκείως ὁπότ' ἂν κατὰ κύκλα φαανθῇ,
μαρτυρίῃ δὲ Κρόνοιο κατ' αἰθέρα τῷδε πελάζῃ,

267. *κατέχῃ* Holst. t. Mrg.

270. *ῥέζουσιν* LH. *βιότου* Gr. *βιότοι* Macr. t. Gron. *βιότοιο* LH. et sic Gron. (in annott.) et Dorvill. p. 453.

272. *μοίρην ἐντὸς ἔχουσα* Gr. et LH. Ego *μοίρης* correxi. Aliquando conieci: *μοίρης ἐντὸς ἰοῦσα.* Axt.

273. *Ἄρεος ἠδὲ* Gr. et LH. *ἄρεως ἠδὲ* vel *Ἄρηος ἰδὲ* Dorvill. p. 644.

274. *αἶνος* Gr. et LH. *αἰνός τ'* corr. Dorvill. p. 333.

275. Fortasse: *καὶ πενίην μοῖράν τε κακὴν κ. λ. ἔργα πείσονται.*

279. *ἠέλιός τε* LH. *τόποισι* LH.

282. *ἐπ'* Gr. et LH. *καθ'* corr. Axt.

289. *καμίνοις* apud Dorvill. p. 555.

290. *Ἑρμῆς δ' οἰκείοις* Gr. et LH. *οἰκείως* Dorvill. p. 250. — Fort. *ἑρμείης δ' οἰκεῖ' ὁπόταν.* Axt.

291. *μαρτυρίῃ* Gr. *μαρτυρίη* LH. *καθαιτεραταῶδε* Macr. t. Gr. et Mrg.

δὴ τότε ῥήτορας ἄνδρας ἰδ' ἐν σοφίῃσιν ἀρι
ἔσσεσθαι δείκνυσι καὶ ἀστρολόγους θεοφήμοι
Εἰ δὲ Σεληναίης ἑλικώπιδος ἄστατος ἀστὴρ
Ἑρμείαν σύμφωνον ἔχοι κατὰ κόσμον ἀταρπ
καὶ μούνη Κυθέρεια συνῇ καλῷ Φαέθοντι,
ῥεκτῆρας χρυσοῖο καὶ ἰνδογενοῦς ἐλέφαντος
ἐργοπόνους ῥέζει καὶ ζωγραφίης μεδέοντας,
εὐφυέας θριγκῶν τε καὶ εὐτύκτων κανονισμά
κοσμήτας, μάλα τοι πεπονημένα τεχνάζοντας
Ζῆνα δ' ὅτ' ἂν φαέθοντα βάλῃ λαμπραύγετι
Ἑρμείου, μίγδην τε διαλλάξωσιν ὁρισμούς,
ῥήτορας ἐμφαίνουσι βροτοὺς σοφίης τε κρατι
ζηλωτάς, τεύχει τε λόγων νεότητί τε λαμπρὰ
γραμματικὴν ἄσκησιν ἐνὶ στέρνοισιν ἔχοντας.
Μήνης δ' ἀμφικέρω σκολιὸς δρόμος ἡνίκ' ἂ
Ἄρεος ἀκτίνεσσι πόλου λοξεύματα βαίνων,
Στίλβων δ' ἀμφ' αὐτοῖς ἢ καὶ διάμετρος ὁρι
ζωϊδίῳ κόσμοιο, κακοὺς ληΐστορας ἄνδρας
καὶ θυρέτρων δεινοὺς ἐπανοίκτορας ὀθνειάω
κλεπτῆρας φαύλους νυκτοπλανέας τελέουσιν·

292. *σοφίεσσιν* Gr. et LH. „*σοφίαισιν* Mscr.“ Mrg

294. *ἑλικωνίδος* LH. *ἑλικωπίδος* Gr.

295. *κατὰ κόσμον ἀταρπὸν* Gr. LH. et Holst. t. Mrg. *κατὰ κόσμου* Mscr. t. Mrg. et sic Dorvill. p. 644.

297. *ῥεκτῆρας* Holst.

298. *ῥέζει* LH. Nonne *φέρει μέλοντας*? Axt.

299. *εὐτοπέας* Mscr. et Holst. t. Mrg. „supra scriptum“ t. Gron. *εὐτυπέων* Gr. *εὐτοπέων* LH. Nos coni: *εὐτοίχων* vel *εὐτύκτων*.

300. *κοσμητὰς* Gr. et LH.

301. *Φαέθοντα* Gr. *φαέθοντα* LH. *λαμπραυγέτις* Gr. et LH.

302. *ἑρμείᾳ* Gr. et LH. „*ἑρμείου* Hlst.“ Mrg.

304. *τεύχει τε λόγων νεότητά τε λαμπρὰν γραμματικὴν ἄσκ.* Gr. et LH. Equidem coni: *τεύχει* (… quod iam Gron. vidit.) … *τε λαμπρὰν γρ. ἄσκ* Rig… vestigia malim scribi pr… vel saltem *τεύχῃ τε λ…* *γραμματικήν τ' ἄσκ.* A…

306. *ἀμφικέρως* Gr. et … *κέρω*“ Mrg. et sic Dorvi…

307. *ἄρεως* Gr. et LH. … vill. p. 258. — *ἀκτίνεσσ…* *ματα* Gr. et LH. „*λοξεύ…* Dorvill. p. 258. „Omitti… IV. v. 480. necessario r…

309. *ζωιδίῳ, κόσμοιο* G… in LH.

310. *ἐπανύκτορας* Gr. … *τορας* Holst. t. Mrg. et … — *ὀθνιάων* Gr. *ὀθνειά…*

οὗτοι φωρηθέντες ἐν ἀλλοτρίοισι μελάθροις
εἰς συνοχὰς ἥξουσι σιδηρήεντά τε δεσμά,
εἱρκτὰς δ' οἰκήσουσι φυλασσόμενοι ἀλύσεσσιν·
ἐν δὲ βίῃ θανάτου λείψει κακοεργέα θυμόν
ἢ σφαγίοις ξίφεσιν δεδαϊγμένος ἢ πελέκεσσιν,
ἢ διὰ λαιμοτόμου φάρυγος βίον αἵματι λείψει
σφονδυλόεντα τράχηλον ἐς ἰνίον ἀκροτομηθείς·
ἢ βρόχον ἀγχονόωντα δι' αὐχένος ἐνδήσαντες
πνευμάτιον λείψουσι πικρῆς Μοίρης ὑπ' ἀνάγκῃ·
Ἥλιος δὲ Κρόνοιο καὶ Ἄρεος ἀστέρας ἀθρῶν
ἀκτινηβολίῃσι φαεσφόρου Οὐλύμποιο,
ναυσιβάτας δείκνυσι καὶ ὕδατος ἴστορας ἄνδρας,
πρωτάρχας σκαφέων, οἳ πολλάκι ναυφθορίῃσιν
χείματος ὀρνυμένου βίοτον σώζουσι δι' ἅλμης
νηχόμενοι Μοίρῃσιν ὕπο χρόνον ἐν πελάγεσσιν.
Παμφαίνων δ' ἀστὴρ κυανοχρώτοιο Κρόνοιο
Ἡελίου σελάεσσιν ἀν' οὐρανὸν ἦν ἰσόμοιρος,
τηνίκα φυομένων βρεφέων γεννήτορα πρῶτον

312. *φωραθέντες* Gr. et LH. *φωρηθέντες* Dorvill. p. 406.

313. *σιδηρόεντα* Gr. et LH. *σιδηρήεντα* Dorvill. p. 406.

314. *ἀλύσεσσιν* Gr. *ἀλύσ.* LH.

315. *ἔν τε βίᾳ θάνατον λείψει κακοεργεῖ θυμῷ.* Gr. et LH. *θάνατον ζητεῖ* vel *βίοτον λείψει* conl. Gr. *ἐν δὲ* emend. Dorvill. p. 406. mavult tamen scribi: *ἐν δὲ βιαιοτάτῳ θανάτῳ βίον ἐκλείπουσι* l. l. Equidem *ἐν δὲ βίῃ θανάτου λείψει κακοεργέα θυμόν.* Rigler.

316. *δεδαϊγμένοι* Gr. et LH. *δεδειγμένοι* Mscr. t. Gr. et Mrg. *δεδαϊγμένος.* Rigl.

317. (vulg. 318) *φάρυγγος* Gr. et LH. *φάρυγος* Dorvill. l. l. *αἵματι* Gr. *αἷμα τε* LH.

318. (vulg. 319) *ἠΐνιον* Gr. *ἠΐνιον* LH. *ἐς ἰνίον* maluit scribi Dorvill. p. 406.

319. (vulg. 317) *ἀγχονέοντα* Gr. et LH. *ἀγχονόοντα* Hist. t. Mrg. *ἀγχινόεντα* Dorv. p. 406. Nos conl: *ἀγχονόωντα.* Hunc versum, qui et in libro Hal. et in Gronoviano exemplo est versus 317, huc transposuimus.

320. *πνεῦμα τ'* Gr. *πνεῦμά θ'* LH. et Dorvill. p. 406. *ἰὸν* Gr. et LH. Ego conl: *πνευμάτιον* Rigler. *πικρᾶς μοίρας ὑπ' ἀνάγκης* Gr. et LH. *ἀνάγκας* Mscr. t. Gr.

321. *Κρόνου* Gr. et LH. Nos reposuimus: *Κρόνοιο.*

322. *ἀκτινοβολίῃσι* LH.

324. *πλωτάρχης.* Gr. et LH. Nos scripsimus *πρωτάρχης.*

325. *βίον* Gr. *βίοτον* Mscr. t. Gr. et LH. *ὀρνυμένοιο* Gr. et LH. *ὀρνυμένου βίοτον* Dorvill. p. 407.

326. *νηχόμενοι μοίρῃσιν ὑπότρομονετε.* Gr. et LH. Restitui: *μοίρῃσιν ὕπο χρόνον* (i. e. paullisper). Rigler.

327. *κυανοχρόοιο* Gr. et LH. Nos restituimus: *κυανοχρώτοιο.*

μητέρος εἰς ἀΐδην πέμψει νεκυηπόλος Αἶσα,
κτήματά τ' ἐκβάλλει πατρώϊα καὶ μέγαν ὄλβον,
καί τε κασιγνήτων θανάτους ὁρόωσι προόντων,
κὰκ πολλῶν θανάτων πλοῦτον μέγαν αὐχήσουσιν.
Ἣν δὲ Σεληναίης ἀκτὶς ἰσόμοιρα πελάζῃ,
Μάρτυς δ' ἐπὶ τοῦτο γένηται καὶ Πυρόεις.
ἡ μήτηρ προτέρη οἴχεται εἰς ἀΐδην,
ἠὲ μογοστοκίῃ δεδαϊγμένη ἢ ὑπὸ νούσου·
ἡμερίαις δὲ γυναιξὶ φύσις κρύφι' ἄλγε' ἔδωκεν.
Ἣν Κρόνος ὡρονομῇ, Πυρόεις δύνῃ δὲ κατιθύς,
αἴλινος ὅστις ἀνήρ γε βιαιότατον μόρον ἕξει.
Ἠελίῳ τετράγωνος Ἄρης, Μήνη δέ τε Φαίνων,
δούλους ποιήσει ἢ καὶ γονέων στερέσειεν.
Ἣν δ' ἔτι καὶ Παφίη κατεναντίον Ἄρεος ἔλθῃ,
καὶ ταύτην τετράγωνος ἴδοι Κρόνος ὑψόθεν ἑστώς,
ἐκ δούλων δούλους τούσδε νόει ξυνέσει.
Ἣν Φαέθων τετράγωνον ἴδοι Κρόνον ἠὲ τρίγωνον,
Ἑρμείας δέ τ' ἐφ' ὡρονόμου Μήνη τε σὺν αὐτῷ,
εὐτυχὲς ἐκ γενεῆς ἔσσεται τοῦτο θέμα.

330. „ἰχνηπόλος Holst." Mrg. Fortasse: νεκυοστόλος.

332. ὁράωσι Mrg. θάνατον Gr. et LH. θανάτους. Axt.

333. κ' ἐκ πολλῶν θανάτων πλοῦτον. Gr. et LH. Cur poeta non scripsit πλοῦτον δ' ἐκ πολλῶν θαν. saltem scribendum κὰκ.

335. μάρτυς καὶ Πυρόεις δ' ἐπὶ σήματι (σχήματι voluit p. 677.) τῷδε γένηται praeeunte Gronovio restituit Dorvill. p. 481. Nos: ἦν δ' ἔτι καὶ Πυρόεις μάρτυς γένητ' ἐπὶ τούτῳ.

336. „οἴχηται Mscr." Mrg. Conieci: ἡ μήτηρ προτέρη γεννήτορος οἴχετ' ἐς ᾅδην. Rigl.

338. αἱμηρῇσι Gr. et LH. ἡμερίαις δὲ Axt. κρύφι' Gr. κρύφιμ' LH.

339. κατ' ἰθὺν Gr. et LH. κατιθὺ Gr. (in aonott.) δυνῇ Gr. δύνῃ LH.

340. αἰλινὸς Gr. αἴλινος LH.

341. μήν' ἠδέ τε LH. sed in mrg. correctum est.

342. γονέων στερέησιν Gr. et LH. στερέῃσι Dorvill. p. 338. Nos: στερέσειεν correximus.

343. ἦν δέ τι Gr. et LH. Nos: ἦν δ' ἔτι scripsimus. ἄρεως LH.

344. ὕψωθεν LH.

345. Nos coniec: ἐκ δούλων δούλους τούςδε ξυνέσει συ νόησον. Fortasse pro τούςδε scribendum est τῇδε sc: ξυνέσει.

347. δ' ἔτ' Gron. δέ τ' LH. — ἐπ' Gr. et LH. ἐφ' corr. Rigl. Ceterum fortasse scribendum: Ἑρμείαν δέ τ' ἐφ' ὡρ. Μήνην τε.

348. ἔσειτε Mscr. t. Gr. εὐτυχὲς ἐσσεῖται τοῦτο θέμ' ἐκ γενεῆς vel εὐτ. ἐκ γενεῆς ἔσσεταί οἱ τὸ θέμα Dorv. p. 644. Equidem conieci: εὐτυχὲς ἐκ γενεῆς θνητοῖς ἔσται θέμα τοῦτο. Rigl.

δόξῃ καὶ πλούτῳ καὶ φιλίαις μερόπων.
καὶ Ζεὺς ὡρονομῶν Πυρόεις θ' ἅμα καὶ τρίτος Ἑρμῆς,
Μήνην εἰ συνόδοισι Κρόνος φίλος ἀγκαλίσαιτο,
εὐπράκτους ῥέζει καὶ μακαριστοτάτους·
ἢν δὲ Κρόνος παρόδοισιν ἐπ' Ἄρηος τόπον ἔλθοι,
ψυχρὸς ἐὼν θερμοῖο, μολὼν τόπῳ οὐ καλοεργός,
ἔσσεται ἀνθρώποις πολλοῦ κακοῦ αἴτιος οὗτος .*
λύπας γὰρ στονάχας τε βλάβας θ' ἕξει μερόπεσσιν.
Ἄρης δ' ἐν παρόδοισι κατοπτεύσας Κρόνον αἰνὸν
ἐσθλὸς ἔφυ· κτήσεις δ' ἀγαθῶν καὶ νῖκος ὀπάζει.
Εἴρηται δρόμος οὐράνιός γ' ἀπλανῶν τε πλάνων τε·
λοιπόν μοι Μοῦσαι δότ' ἀεῖσαι πλείονα τούτων
εἰς ἑτέραν βίβλον τῷδε μέτρῳ πρὸς ἔπος.

349. Ego conieci: *δόξῃ καὶ πλούτῳ ἢ καὶ μερόπων φιλίῃσιν.* Axt.

350. *ὡρονόμων* Mscr. t. Mrg. Nos aliquando coniecimus: *καὶ Ζεὺς ὡρονομοῖ.*

351. *μήνη δ' ἐκ συνόδοιο Κρόνου φίλον* Gr. et LH. Ego *μήνην εἰ — ἀγκαλ.* Axt.

352. *ῥέξει* LH. Fortasse: *εὐπράκτους ῥέζουσι βροτοὺς μακαριστοτάτους τε.*

354. *μολῶν* Gr. et LH.

355. *πολλῶν κακῶν* Gr. et LH. Mscr. t. Gr. *πολλοῦ κακοῦ* Gron. corr. (in annott.) eumque secutus est Dorvill. p. 496. *βλάβας ἕξει* Gr. et LH. *βλάβας τ' ἄξει* Dorvill. p. 333.

359. *πλανητῶν* Mscr. (t. Gr.) et LH. „fort. *πλανώντε*" Mrg. et sic. corr. Gron. et Dorvill. p. 335. *οὐράνιος* Gr. et LH. *οὐράνιός γε* vel *οὐρανίων.* Axt.

360. *ἀῆσαι* Gr. et LH. *ἀεῖσαι* Holst t. Mrg. et sic Dorvill. p. 643.

361. *προσέπος* LH. *πρὸς ἔπος* Holst t. Mrg. Nos coni: *εἰς ἑτέραν βίβλον τοῖσδ' ἐμμέτροις πρὸς ἔπεσσιν.* — In calce huius libri: *μανεθῶνος ἀποτελεσματικῶν βιβλίον ά πεπλήρωται* Gr. *πεπλ. βιβλ. ά τῶν μανεθ. ἀποτ.* LH.

ΜΑΝΕΘΩΝΟΣ
ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΩΝ
ΒΙΒΛΙΟΝ Β.

Πάντοτε μὲν κόσμοιο κατ' αἰθέρα κοιρανέοντες
Ἠέλιος Μήνη τε διηνεκέως γε φέρονται·
ἄστρα δ' ἄρ' ἤλιθα μυρί', ἅτ' οὐρανῷ ἐστήρικται,
μαρμαίροντ' ἐπὶ νυκτί, τὰ μὲν σελάεσσιν ἀφαυροῖς
αἰθύσσοντ', ὥστ' ὅσσον ὑπ' ὄμμασιν αὐγάζεσθαι·
πολλοὶ δ' αὖτ' αἴγλῃσι φαεινόμενοι βλοσυρῇσιν
ἀστέρες, ὡς καὶ φέγγος ἐπὶ χθονὸς ἡμερίοισιν
φαίνειν, εὖτ' ἀσέληνον ἔχῃ δρόμον ἀμβροσίη νύξ·
καὶ μὴν δὴ τάδε πάντα δι' αἰθέρος αἰὲν ἄρηρεν
ἀπλανέων χώρῃ, τῇ δὴ ταπρῶτα δέδασται,
ἑλκόμεν' ἀντολίηθεν ἐφ' ἑσπερίην δύσιν αἰεί,

Huic libro in exemplo Gronoviano praefixa est haec argumenti expositio: ἐν τῷ β' τούτῳ βιβλίῳ διέξεισιν, α'. περὶ τῆς θέσεως τῶν ἐν τῇ σφαίρᾳ κύκλων φαινομένων τε καὶ ἀφανῶν καὶ ἄξονος καὶ ὁρίζοντος καὶ τῆς ἐν τοῖς κύκλοις τῶν ἄστρων τε καὶ ἀστέρων θέσεως καὶ τῶν λοξῶν κύκλων. β'. Τί ἕκαστος τῶν ἑπτὰ πλανητῶν ἐν ἰδίῳ, καὶ τί ἐν ἀλλοτρίῳ οἴκῳ φαινόμενος ἀποτελεῖ. γ'. Τίς ἑκάστου τῶν ἑπτὰ πλανητῶν ἐν τῇ ἀνατολῇ, καὶ τίς ἐν τῇ δύσει δύναμις. δ'. Περὶ τῆς φάσεως τῶν ἑπτὰ πλανητῶν, καὶ τί μὲν ἕκαστος αὐτῶν τῷ ἡλίῳ συνὼν ἀποτελεῖ, καὶ τί διαμετρῶν, τί δὲ τῇ σελήνῃ καθ' ἑκάστην τῶν δύο φάσεων.

Vers 1. κυρανέοντες Gr. et LH. „ϰῦρα νέοντες" Mrg.

2. διηνεκέως τε φέρονται Gr. et LH. γε φέρονται Rigl. Aliquando conieci: διηνεκέως φορέονται. Axt.

3. ἄρ Gr. ἄρ' LH. μύρια τ' Gr. μυρία τ' Holst. μύρί' ἅτ LH. — „ἐνστήρικται Mscr. et Holst." Mrg. ἐστήρικται Gr. et LH. μυρί' ἐν οὐρ. ἐστ. Dorvill. p. 644.

5. „Fort. οἷον" Mrg.

6. βλοσυροῖσι Gr. et LH. βλοσυρῇσι Holst. t. Mrg.

10. ἀπλανέων ἐνὶ χώρην, τῇ δὲ Gr. et LH. „τὴν Mscr." Mrg. (sed lineola per vocem transverse ducta.) ἐπὶ Gron. in corrig. „χώρῃ Holst." Mrg. χώρῃ ἔπι, τῇδε Dorvill. p. 645. ἀπλ. χώρῃ, τῇ δὲ, vel ἀπλ. ἐνὶ χώρῃ, ὅπῃ. Axt.

11. αὐτολίηθεν LH. ἕλκομεν Mscr. t. Gr. ἑλκόμεν' coni. Gr. et sic LH.

παῦρ' ὑπὸ δεικήλων τεράτων τετυπωμένα μορφαῖς,
ἄλλως δὴ πλέονα σποράδην πεφορημέν' ὕπερθεν·
πέντε δ' ἄρ' ἀστέρες, οἳ δὴ ἀγαυοτάτου διὰ κύκλου
ζῳδιακοῦ πλάζονται, ἀμειβόμενοι κατὰ κόσμου
δεικήλων, οὓς φῦλα βροτῶν ὀνόμηναν ἀλήτας,
τῶν μὲν δὴ μετόπισθε φίλῃ μεμνήσομ' ἀοιδῇ.
μακρὸς δ' αὖ διὰ μέσσου ἐλήλαται οὐρανοῦ ἄξων,
ἀστεμφής, ὅσσοισιν ὁρωμένῳ ἀπροτίοπτος,
ὃς περὶ πᾶν γαίης τε καὶ ἀτρυγέτου διὰ πόντου
ὦκα διηνεκέως δινεύμενος οὐκ ἀπολήγει.
τοῦ δὲ δύω πόλοι εἰσὶ καταντιπέρην ἀσάλευτοι·
ὃς μὲν ἐπὶ κρυεροῦ βορέω πνοιῇσιν ἀρηρὼς
καὶ κεφαλῆς ἀγχοῦ βαιῆς κυνοσουρίδος ἄρκτου·
ἄλλος δ' ἐν διερῷ νότῳ ἵσταται· ἀλλ' ὁ μὲν ὑψοῦ
κεῖται ὑπερχθόνιος, νότιος δ' ἀΐδηλος ὑπ' αἶαν.
κύκλοι δ' αὖ πολλοὶ καὶ ἀπείριτοι οὐρανοῦ εἴσω
δινεῦνται, οὓς αὐτὸς ἀεὶ σφαίρης στροφάλιγγι
τεύχει ἑλισσομένων ἄστρων κατ' ἀπείριτον οἶμον.
τῶν δέ τε πάντων εἰσὶ πανέξοχοι ἐννέα κύκλοι,
δοιοὶ μὲν προτίοπτοι ἰδ' ὀφθαλμοῖσιν ὁρητοί·

12. ὑπὸ δεικηλέων Gr. ὑποδικ. LH. sed correctum in marg. ὑπὸ δικ.

13. -ρημένα πέρθης Gr. (sed vertit videas) et LH. κεύθει superscr. in Mscr. t. Gr. „κεύθει Mscr. et Holst. fort. κεῖται" Mrg. Nos coniecimus: ὕπερθεν. Ego quondam πεφορημένα δέρκῃ. Rigl. Alias volui ὑπὲρ γῆς. Axt.

14. διαγανότατοι LH. οἱ διαγαυ. Gr. οἳ δὴ ἀγαυοτ. Rigl. — Deinde emendavimus ἀγαυοτάτου.

15. κόσμον Gr. et LH. Nos: κόσμου.

16. ἀδίκηλ' Gr. et LH. ἠδίκηλ' Dorvill. pag. 651. Nos coniec: δεικήλων, et aliquando κόσμοιν ἂν δείκηλ'.

18. ἂν Mscr. t. Mrg. μέσου Gr. μέσσου LH. et sic Dorvill. p. 254.

19. ὅσσοισιν LH. „rectius ὅσσ. Mscr." Mrg. ὁρώμενος ἀπροτίοπτος Gron. et LH. item Dorvill. p. 257. Equidem ὁρωμένῳ ἀπροτ. Rigler.

22. κατ' ἀντιπ. LH.

23. βορέου Gr. βορεοῦ LH βορέω corr. Rigl.

24. κεφαλὴν Gr. et LH. κεφαλῆς corr. Axt. ἄγχου Gr. ἀγχοῦ LH. βαιῆς Gr. et LH.

26. ἄδηλος LH.

28. δίνευνται Gr. δινεῦνται LH. et Dorvill. p. 261. ἀεὶ Gr. et Holst. t. Mrg. αἰεὶ LH. σφαιρεῖ Gr. et LH. „σφαιροῦ Holst. — τῇ συστροφῇ glossa" Mrg. σφαίρης Dorvill. l. l.

30. τῷ δὲ Gr τῶν δὲ LH.

31. ἠδ' Gr. et LH. ἰδ' Dorvill. p. 257. et Herm. ad Orph. p. 812. — ὁρατοὶ Gr. et LH. ὁρητοὶ Dorvill. l. l. — δυοὶ Gr. et LH. δοιοὶ Dorvill. l. l. προδίοπτοι

οἱ δ' ἄλλοι μήτι μερόπων πραπίσιν τε νοητοί.
ἔπτ' ἀϊδεῖς μὲν ἔασιν ἰδ' ἐν φρεσὶ μοῦνον ὁρητοί,
ἀλλήλοις τε παραβλήδην στρωφώμενοι αἰεί·
ὅς μὲν γὰρ πρώτιστα πόλου δινεύμενος ὕψου,
ὅντε βόρειον φῶτες ἐπίκλησιν καλέουσιν·
τὸν δὲ μέτα τροπαὶ αὖ θέρεος πυριλαμπέος ὥρης
γίγνονται μέσατός τε, δι' οὗ θοὸν ἅρμα τιταίνων
ἴσην Ἥλιος τεύχει νύκτ' ἄμβροτον ἠοῖ.
τῷ δ' ἔπι χειμερίης γε τροπῆς κύκλος ἐστήρικται·
ἑξείης δ' ἐπὶ τῷ νότιος πέλει, οὗ ῥά τε βαιὴν
φράζεο μοῖραν ὕπερθε· τὸ γὰρ πλέον ἔσθ' ὑπὸ γαῖαν.
τοὺς δὲ μέσους τέμνουσι δύω κύκλοι ἄξονος αὐτοῦ
ἄκρης ἀρχόμενοι κορυφῆς· αὐτοί γε μὲν ἄμφω
ἀλλήλους ἄχρις νοτίου τέμνουσι πόλοιο,
ὅς μὲν ἐνὶ θνητοῖσι καλούμενος αἶαν ὁρίζων,
ὅς δὲ μεσημβρινὸς ὕψου ἄκρης κυρτούμενος αἴθρης.
ἀμφότεροι δ' ἄρα τοί γε πόλων ἐντόσθεν ἐόντες
ἐντὸς ἐέργουσιν δίνην περικείμενοι ἄστρων.
οἵδε μὲν ἐν πραπίδεσσιν ἀριφραδέες τελέθουσιν
γνώσασθαι κύκλοι· τοὺς δ' αὖθ' ἑτέρους καὶ ἐπ' ὅσσοις
δερκόμεθ', εὖτ' ἂν γαῖαν ἐπιτρέχῃ ἀμβροσίη νύξ·
τὸν μὲν ἴσον χροιῇ λευκῷ φαίνοντα γάλακτι,

Gr. et LH. προτίοπτοι Gr. (in annott.) προδίοπτοι tuetur Dorvill. p. 646.

34. μῆτι LH. μήτει Dorvill. p. 646.

33. ἔνθ' Gr. et LH. ἔπτ' Dorvill. p. 645.

35. ὡς Gr. et LH. „f. ὧν" Mrg. sic etiam Dorvill. p. 645. Idem l. l. ὃς μὲν γὰρ πρώτιστα πόλου.

37. τροπάς Gr. τροπαὶ LH. εἰσι θέρευς Dorvill. p. 645. θέρεος Gr. et LH. Equidem τροπαὶ αὖ θέρεος. Rigl. Aliquando conl. τροπικοὶ et καὶ μετὰ τόνδε τροπαί. Axt.

38. γείνονται Gr. et LH. „γιν. Holst." Mrg. μεσάτοι Gr. et LH. δινεῖται μέσατός τε Dorvill. p. 645. δ' οὗ LH. „f. διὸς aut tale quid" Mrg. δι' ὧν Dorvill. l. l.

39. ἠῷ Gr. ἠῷ LH. νύκτ' ἄμβροτον ἠῷ Dorvill. p. 645. ἠοῖ. Rigl.

40. ἐπὶ Gr. et Mscr. ἔπι LH. χειμερίης τε τροπ. Gr. et LH. Nos correx. γε.

41. ἐπὶ τοῦ LH.

42. φράζομαι ὥραν Gr. ὥραν LH. φράζεο vel φράζου μοῖραν. Dorvill. p. 645.

45. ἄχρις Mscr. t. Gr.

46. οἶον Gr. et LH. αἶαν Dorvill. p. 645. Ego olim conieci ἐστιν. Axt.

49. δίκην Gr. et LH. δίνην Dorvill. p. 645.

51. ἄν θ' LH. ὁπόσοις Mscr. t. Gr. et sic etiam LH. „f. ἐπ' ὅσσοις" Mrg.

52. ἔστ' ἂν Gr. εἴτ' ἂν LH. Nos reposuimus εὖτ' ἄν. —ἐπιτρέχει. LH.

τὸν δ' ὑπὸ δεικήλοισι δυώδεκα παμφαίνοντα
ζωδιακόν· λοξοὶ δ' ἐπαμοιβαδὶς ἐζώσαντο
οὐρανὸν ἀμφότεροι δίχα τέμνοντες σφέας αὐτούς.
ἑπτὰ δ' ἄρ', ὥνπερ πρόσθεν ἀείσαμεν, εἰσὶν ἄϊστοι
καὶ μοῦνον πυκινῇσιν ἐνὶ φρεσὶν ἑστηῶτες·
οὕνεκεν οὐ ζώων μορφαῖς ὁλκοῖς τε φαεινοῖς,
οὐδὲ μὲν οὐ χροιῇσι διάκριτοι εἰσορόωνται,
ἀλλ' αὔτως δίνῃσιν ὀϊόμεθα σφέας ἄστρων
κυκλοῦσθαι, τάπερ αὐτὸς ἀτειρὴς αἰὲν ἀγινεῖ
οὐρανὸς ἐν στροφάλιγγι περὶ χθόνα δῖαν ἑλίσσων·
ἦ γὰρ δὴ τὸν μέν τε βορήϊον ἀστέρες ἄρκτου
μείζονος, ἥν Ἑλίκην ναῖται νηῶν ὀνόμηναν,
ἀμφιχαράσσονται ῥοίζῳ στρωφώμενοι αἰεί,
οἵ τέ οἱ ἀκροτάτοισι φαείνονται περὶ ποσσίν.
ἄντυξ δ' αὖ κύκλοιο μέσην διὰ χεῖρα Βοώτου
τέμνει ὑπ' ἀγκῶνος σκαιοῦ, κεφαλῆς τε Δράκοντος
ἀκροτάτης ψαύει, στέρνον δ' ὑπὸ Κηφέος εἰσιν
καὶ κλεινῆς ἀλόχοιο παραὶ ποσὶ Κασσιεπείης.
κύκλος δ', ὅστε τρέπει θέρεος πυριλαμπέος ὥρην,
ἀστέρι δινεύοντι περιγράφεται κατ' Ὄλυμπον
Καρκίνου ὀγδοάτῃ μοίρῃ ἔνι παμφαίνοντι·

54. *ὑποδεικήλ.* LH. sed correctum in mrg. *ὑπὸ δ.*

55. *ἐπαμοιβάδες ἐζώσαντο* Gr. (et vertit *expulerunt*) *ἐπαμοιβάδες* Mscr. t. Gr. (in annott.) et sic LH. Idem *ἐζώσαντο* „*ἐπαμοιβάδις* Holst. f. — *δὶς ζώσαντο*“ Mrg. *ἐπαμοιβαδίς* Gr. (in annott.) et sic Dorvill., qui *ἰσώσαντο* et *ἐζώσαντο* conlecit p. 645 et 679.

57. *ὧν πέρι* Dorvill. p. 616. „*εἴσιν* Mscr.“ Mrg. *ἄριστοι* Gr. et LH. *εἰσ' ἀόρατοι* Dorvill l. l. *εἰσὶν ἄϊστοι.* Axt.

58. *πυκινῇσιν* Holst. *ἑστηῶτ.* LH.

60. *οὖν* Gr. et LH. „*ἐν* lege“ Mrg. *οὐ* Dorvill. p. 646.

61. *δείνησιν* Gr. *δίνῃσιν* LH. „*δίν.* Holst. et Mscr.“ Mrg.

62. *ἀγείνει* Gr. et LH. *ἀγινεῖ* Dorvill. p. 645.

63. *δίαν* Gr. *δῖαν* LH. *ἑλίσων* LH.

64. *ἤ* Gr. et LH. „*ἦ* scr.“ Mrg.

66. *ῥοίζω* LH. sed in margine „lege *ῥοίζῳ.*“

67. *οἱ τέ νοι ἀκρ.* Gr. *οἵ τέ νοι* LH. *οἵ τέ νυ* Holst. t. Mrg. et sic Dorvill. p. 257. *οἵ τέ οἱ* Herm. ad Orph. p. 749.

68. *αν* LH.

70. *φαίνει* LH.

71. „lege *κλειτῆς*“ Mrg. *παρά* Gr. et LH. *παραὶ* Dorvill. p. 613.

72. *περιλαμπ.* LH.

73. *δεινεύοντι* Gr. et LH. „*διν.* Mscr. et Holst.“ Mrg.

74. *ἐνὶ* Gr. et LH. Lego: *ὀγδοάτῃ μοίρῃ ἔνι* aut *ὀγδοάτης μοίρης ἔπι.* Axt.

κεῖται δὲ τμήγων μέσσον διὰ Καρκίνον αὐτὸν
ξανθήν τ' αὐχένιον χαίτην χαροποῖο Λέοντος,
σπεῖράν τε πρώτην Ὄφιος, βριαροῦ τ' Ὀφιούχου
ὤμους, Ὄρνιθός τε δέρην τανυσιπτερύγοιο,
καὶ πόδας Ἱππείους, Χειρός τ' ἀγκῶνα βορείου,
Ἀνδρομέδης καρπόν τε χερός, λαιὴν δέ τε κνήμην
Περσέος, ὑστάτιόν τε ποδὸς θέναρ Ἡνιόχοιο,
καὶ βριαρῶν Διδύμων σὺν καὶ χείρεσσι κάρηνα.
αὐτὰρ ἰσημερινόν τις ἑῷ φράσσαιτ' ἐνὶ θυμῷ
ἀστέρος ἐκ μεσάτοιο χαρασσόμενον Κριοῖο·
κεῖθεν δ' αὖ παραμειβόμενον Ταύρου πόδας ἄκρους
καὶ καλὴν ζώνην θηροκτόνου Ὠρίωνος,
Ὕδρης θ' ὁλκὸν ἀπειρεσίης Κρητῆρά τε μέσσον·
ἑξῆς δ' ἀκροτάτου στολμοῦ ψαύοντ' ἐρατεινῆς
Παρθένου, ἰοβόλου τε διὲκ χηλῆς περόωντα
Σκορπίου, ἰγνύας τε διατρίβοντ' Ὀφιούχου,
καὶ χαίτης ἄκρης ἐπαφώμενον ὠκέος Ἵππου,
μέσσον τ' ἀμφοτέροισιν ἐν Ἰχθύσι δινεύοντα.
χειμερίου δὲ τροπῆς κύκλον θοοῦ Αἰγοκερῆος
σκέπτευ ὑπὲρ μέσσοιο διεκπερόωντ' ἐπὶ γυῖα

75. *μέσον* Gr. et LH. *μέσσον* Dorvill. p. 254. *μείων περὶ* Mscr. t. Mrg. *καρκῖνον* Gr. *καρκίνον* LH.

77. *σπειράν* Gr. *σπεῖραν* LH. „script. *σπεῖραν*“ Mrg.

78. *τάνυσι πτέροιο* LH. „*τάνυσι πτερύγοιο* script.“ Mrg. *τανυσιπτερύγοιο.* Gr. *δερὴν* Gr. *δέρην* LH.

79. *τε* LH.

81. *Πέρσεως* LH. *σὺν καὶ* Gr. et LH. Ego aliquando conieci *αὐταῖς χείρεσσι.* Rigl.

83. *φράσσατ'* Gr. (sed vertit *imagine-tur.*) *φράσσαιτ'* LH. et sic etiam Spitzner de v. hom. p. 157.

84. *χαρασσόμενον* Gr. ex coni. — *χαρίσσομεν* Mscr. t. Gr. et sic LH. „fort. *χαρασσ.*“ Mrg.

85. *ἂν* LH. „f. *αὖ*“ Mrg.

87. *ὕδρης ὀλ.* LH.

88. *ἀκροτάτου στολμοῦ* Gr. (sed ex emendat.) *ἀκροτάτους τολμουψαύοντ'.* LH. *ἀκροτάτους τόλμου* Mscr. t. Gr.

89. *δι' ἐκ.* LH. *ὑπερεόντα* Gr. et LH. „fort. *ὑπερεόντα*“ Mrg. *περόωντα* Dorvill. p. 254.

91. *ἐπαφώμενον ὠκέος* Gr. (sed ex emend.) et LH.—*φώμενος ὠκέας* Mscr. t. Gr. et Mrg.

92. *μέσον* Gr. sed *μέσσον* corrmen in annot. ad I. v. 256. *μέσσον* LH. *δεινεῦ.* Gr. et LH. „*διν.* Holst.“ Mrg.

93. Fortasse legendum *χειμερίης.* — *κύκλου* LH.

94. *σκέπτευ' ἐκ περ.* Gr. et LH. *σκέπτευ* vel. *σκέπτε' ὑπὲρ μέσσ.* Dorvill. p. 254.

ἀμφότερ' Ὑδροχόου καὶ Κήτεος εἰναλίοιο
οὐρὴν ἠδὲ Λαγωοῦ ἀπὸ στέρνων ἐπὶ μέσσα
νισσόμενον, πρώτους τε πόδας Κυνὸς ἠδὲ καὶ Ἀργοῦς
ποντοπόρου τέμνοντα δι' αἰθέρος ἄκρα κόρυμβα,
Κενταύρου τ' ὤμους, νότιον κέντρον τ' ὀλοοῖο
Σκορπίου, ἠδὲ βιὸν στέρνον μέτα Τοξευτῆρος.
τὸν δ' ἄρα δὴ νότιον, μεθ' ὃν οὐκέτι φέγγος ὁρᾶται
ἄστρων ἀνθρώποις, οἳ δὴ χθόνα τήνδε νέμονται,
ὁπλῇσιν Κένταυρος ὑπὸ σφετέρῃσι χαράσσει,
πηδάλιόν τε νεός, τὴν ἀκροτόμοισι τεμοῦσα
Πηλίου ἐν κορυφαῖς Παλλὰς θέτ' ἀν' ἀστράσιν Ἀργώ.
οἱ δὲ δύω, τοίπέρ τε πόλῳ διαπειραίνονται,
ἑστᾶσ' ἀστεμφεῖς τε καὶ ἀκλινέες περὶ κόσμον,
πάντων δεικήλων αἰεὶ ἐπαφώμενοι ὁλκοῦ.
ὃς μὲν γάρ θ' ὑψοῦ θοοῦ οὐρανοῦ ἐστήρικται
ἠῴην οἶμον καὶ δείελον Ἠελίοιο
κρίνων καὶ θνητοῖσιν ἄγων βαιὴν λύσιν ἔργων·
ὃς δὲ περιστρέφεται πύματον πόντον τε καὶ αἶαν

95. εἰναλίοιο, οὐρὴν Gr. et LH. signum distinctionis delevi. Axt.

96. λαγωόν Gr. λαγωιὸν. LH. „ἀποστερν. script." Mrg. λαγωοῦ corr. Gron. ad 1, 355.

97. νείσσομ' Gr. et LH. „νίσσου. Holst." Mrg. ἢ δὲ Gr. ἠδὲ LH. et sic corr. Dorvill. p. 646.

98. παντοπόρου. LH.

99. νοτίου (distinctione post hanc vocem posita) LH.

100. ἠδὲ βιὸν στέρνον μέγα Gr. et LH. ἠδὲ βιὸν, στ. μ. vel potius ἠδὲ βίην, στέρν. μέγ. Dorvill. p. 646. Nos στέρνον μέτα. — Aliquando conieci βιοῦ νεῦρον μέγα τοξ vel βιοῦ κυρτώματα. Axt.

103. ὁπλῇσσιν LH.

104. νεώς Gr. et LH. Nos reposuimus νεός. ἀκροτάτοισι mavult legi Dorvill. p. 652. — Fortasse ἀκροπόλοισι. Rigler.

105. ἐκ κορυφῆς Gr. et LH. ἐν κορυφῇς Dorvill. l. l. — ἐν ἀστρ. LH. „ἀν script." Mrg.

106. πόλῳ διαπεραίν. Gr. et LH. scribendum: πόλῳ διαπειραίν. vel πόλων διαπειραίνονται vel πόλων διὰ πειραίνονται. Rigler.

107. ἑστᾶσι Gr. ἑστᾶσιν LH. „ἑστ. script." Mrg.

108. δικήλων Gr. et LH. quod retinuit Dorvill. p. 645. ἐπαφόμενοι ἐμοῦ Gr. et LH. ἐπαφώμενοι Gr. (in annott.) et Dorvill. l. l. ὁλκοῦ conjecit Gr. l. l. ὁλκῷ Dorvill. l. l.

109. γὰρ ὑψοῦ Gr. et LH. γάρ θ' ὑψοῦ Herm. ad Orph. p. 716. — θοὸν οὐρανὸν Gr. et LH. θοοῦ οὐρανοῦ Dorvill. p. 666.

* 110. ἠώην οἶμον ἔχων Gr. et LH. ἔχων delet Dorvill. l. l. δίελον Gr. et Macr. t. Mrg. διελὸν LH. δείελον Dorvill. l. l.

112. πόντου τε LH. γαῖαν Gr. et LH. „f. γαίης" Mrg. Nos correximus αἶαν.

φαίνων ἀντολίας, δύσιάς θ' ὑπὸ βένθεσι κεύθων,
ὅς ῥά θ' ὁρίζων κύκλος ὑπ' ἀνθρώπων πεφάτισται,
οὕνεκα μηκίστην ὅσσων ἐπιτέμνει ὀπωπήν·
ὁλκὸς δ' αὖτε γαλαξίεω βαιὸς μὲν ὁρᾶται
λαμπετόων μοίρῃ· τὸ δέ οἱ πλέον ἐστὶν ἀμαυρόν.
γυροῦται δ' ὕψου μὲν ἐπὶ πνοιαῖς βορέαο
ἐν θρόνῳ ἑζομένης γούνων ἄχρι Κασσιεπείης
πὰρ κεφαλὴν Κηφῆος· ὁ δ' ὄρνιθος πτερὰ τέμνει
Λίητοῦ τε μέσον καὶ Τόξου ἄγχι κορώνης,
ἀκρόταιον κέντρον θηρὸς φονιοῖό γε μέσσον,
καὶ δὲ Θυτήριον ἄστρον ἰδ' ὁπλὰς Κενταύροιο
τέσσαρας· ἐκ δ' ἄρα κεῖθεν ἀνέρχεται ἐκ βορέαο
ἄψοῤῥος διὰ νηὸς ἀμειβόμενος κατὰ πρύμνην,
καὶ κνήμας Διδύμων κορυφῆς θ' ὕπερ Ὠρίωνος,
καὶ γόναθ' Ἡνιόχου γουνός τ' ἐπὶ γοργοφόνοιο
δεξιτερὴν Περσῆος, ὃ δὴ τέτατ' ὥστε θέοντος.
ζωδιακὸς δ', ὅσπέρ τε κατ' οὐρανόν ἔπλετο πάντων
εὐτροχάλων κύκλων μάλ' ἀγανότατος καὶ ὁρητὸς
δώδεκ' ὑπ' εἰδώλοισι κεκασμένος εἰσὶ δι' αἴθρης.
ἀμφὶ δ' ἄρ' αὐτὸν κεῖται ὑπ' ἀστράσι παμφαίνοντα
Κριὸς καὶ Ταῦρος, Δίδυμοι δ' ἐπὶ τῷδε, μετ' αὐτοὺς
Καρκίνος ἠδὲ Λέων, στάχυάς τ' ἐνὶ χερσὶ φέρουσα
Παρθένος, ἀνθρώπων γενεὴν ποθέουσα παλαιῶν,

114. *ῥά τ'* LH. et Mscr. t. Gr.
115. *ὅσσων* LH. *ἐπίτεμνετ'* Gr. et LH. *ἐπιτέμνει* Rigl.
116. *γαλαξιίου* Gr. et LH. *γαλαξίεω* Dorvill. p. 615. *βαιός* Gr. et LH. Fortasse: *βαιῇ.* Axt.
117. *τό δέ τοι* LH. „al. *τοδέοι.* fort. *λαμπετάων.*“ Mrg.
118. „*ὕψου* script.“ Mrg.
120. *κηφέος* Gr. et LH. „*κηφῆος* Holst.“ Mrg. *ὁδ' — πτέρα* LH.
121. *ἀγχικορ.* LH. sed in mrg. correct.
122. *φονιοῖό τε μέσσον* Gr. et LH. „scribe: *φονίοιο τε* i. e. scorpii“ Mrg. Fortasse: *κέντρον τ' ἀκρότατον θηρὸς φονίοιό γε μέσσον.* Axt.
125. „*ἄψορος* scr.“ Mrg. *πρύμναν* Gr. et LH.
126. *κνήμας* LH. *κορυφῆς θ'* Gr. et LH.
127. *τ' ἔτι* Dorvill. p. 646.
128. *δεξιτερὴν* Gr. (sed vertit *ad genu dexterum*) et LH. *δεξιτεροῦ* Dorv. l. l. *ὁ* LH.
129. *οἷσπερ* Mscr. t. Gr. et Mrg.
130. *ἀγανότατος* LH. *ὁρατός* Gr. et LH.
132. *πάντα φαίνοντα* Mscr. (t. Gr.) et LH. *παμφαίνοντα* corr. Gron. *ἄστρασι* Gr. et LH.
135. „*παλαιῶν* script.“ Mrg.

Χηλαί θ', ἃς καὶ δὴ μετεφήμισαν ἀνέρες ἱροὶ
καὶ Ζυγὸν ἐκλήϊσσαν, ἐπεί τ' ἐτάνυσσ' ἑκάτερθεν,
οἷαί περ πλάστιγγες ἐπὶ ζυγοῦ ἑλκομένοιο.
Σκορπίος ἐστὶ δ' ἔπειτα, βίη τ' ἔπι Τοξευτῆρος,
καὶ δὲ καὶ Αἰγόκερως, μεθ' ὃν Ὑδροχόος τε καὶ Ἰχθῦς·
Οἴκοις μὲν δὴ πάντες ἑοῖς παρεόντες ἄριστοι
ἀστέρες ἐν γενέθλῃ· ἐπεὶ ἐσθλοδόται μὲν ἀρείους,
καὶ πλέον' ἐσθλὰ διδοῦσι· κακοὶ δέ τε μείονα λυγρά.
τῷ μάλα χρὴ σκέπτεσθ', ὁπόσοι σφετέροισι δόμοισιν
ἠὲ καὶ εἰν ὁρίοισιν ἑοῖς βεβαῶτες ὁρῶνται·
εἰ μὲν γὰρ πλέονες, πολὺ φέρτεροι· εἰ δέ τε παῦροι,
μειότερον κῦδος βιότῳ καὶ πρῆξιν ὄπασσαν.
ἀλλὰ καὶ ἀλλήλων ὅσ' ἀμειβόμενοι κλυτοφεγγοῖς
οἴκοις ἐκτελέουσι, μάλα χρειὼ καταλέξαι·
Φαίνων μέν τε Διὸς ζώοις μεγακύδεας ἄνδρας
τεύχει, καὶ βασιλεῦσιν ἰδ' αὖθ' ἑτάροισιν ἀνάκτων
ἐς φιλίην ζεύγνυσι, καὶ αὐτοὺς πολλάκι δασμῶν
πρήκτορας ἐξανέφηνεν εὐπρήσσοντας ἄναξιν,
χρήματά τ' ἐν χερσὶν δῶκεν βασιλήϊα νωμᾶν·
[πολλάκι δ' ἀλλοτρίων τέκνων πατέρας καλέεσθαι
δῶκεν, ἢ ἐκθεμένους παῖδας σφετέρους ἀπέδωκεν.]

136. *μετεφήμησαν* Mscr. p. m. t. Gr. „al. *μετεφημ.*" Mrg. *εἰροὶ* Gr. *εἰροὶ* LH. *ἱροὶ* Holst. t. Mrg.

137. *ἐκλήϊσσαν* Gr. et LH. *ἔπειτ'* LH. „*ἐκλήϊσσαν, ἐπεί τ'*" Mrg. *ἐκλείϊσσαν* vel potius *ἐκλήϊσσαν* Dorv. p. 646. Fortasse *ἐπεί γ'*. — Aliquando opinatus sum: *ἐπεὶ τετάνυντ' ἑκατ.* Rigl.

139. *ἔτι* LH. „*βίη τ' ἐπὶ* script." Mrg. *ἐπὶ* Gr. *ἔπι* Dorvill. p. 646.

140. *ἰχθὺς* Gr. et LH. *ἰχθῦς* Dorvill. ibid.

143. *πλέον* Gr. et LH. *πλέον'*. Rigler.

146. *δ' ὅγε* Gr. et LH. „lege *δέ γε*" Mrg. *δέ τε*. Rigler. *πολυφέρτεροι* LH. *πολὺ φέρτεροι* Mscr. t. Gr. *π. φέρτερον* Gron.

148. *κλυτοφεγγοῖς* Gr. et LH. *κλυτοφεγγεῖς* Dorvill. p. 646 et Spitzner (de vers hom.) p. 159.

149. *χρειῶ* Gr. et sic script. t. Mrg. *χρειὼ* LH.

150. *μέν τε* Mscr. t. Gr. et Mrg. *ἔν τε* LH.

151. *ἠδ'* LH. „*εἰδαύθετερ.*—scribe: *ἑτάρ.*" Mrg. *ἑτέροισιν* Gr. et LH. *ἑτάροισιν* Dorvill. p. 151.

152. *δεσμῶν* Gr, et LH. *δασμῶν* corr. Gron. (in annott.)

154. *βασιληΐδα* LH.

155 et 156. uncis inclusimus.

156. *σφετέρους* Gr. et LH. *σφετέροις* Dorvill. p. 156.

Ζεὺς δὲ Κρόνοιο τόποις παρεὼν βίοτον μὲν ὀπάζει,
εὐκτεάνους τε τίθησιν, ἄταρ πολυγηθέος ὄλβου
φειδωλούς, μηδ' ὅσσον ἑῶν κτεάνων ὀρέγοντας,
ἠπεδανὸν στέρνοισι νόον καὶ ἄναλκιν ἔχοντας,
ἀμφί θ' ἔθεν πολὺ μεῖον, ἢ ἐκπεράαν τι, φρονεῦντας,
ἐν δ' ἔργοις πρήξει θ' ἑτέροις ὑποπεπτηῶτας·
ὅσσα δέ τ' ἐκτελέουσιν, ἀποκρύπτει κλέος ἐσθλόν.
πολλάκι δ' ἀλλοτρίων παίδων πατέρας καλέεσθαι
δῶκεν, ἢ ἐκθεμένους παῖδας σφετέρους ἀπέδωκεν.
Ἐν δ' Ἄρεως ὁρίοισιν ἢ ἐν ζώοισι βεβηκὼς
Φαίνων νωχελέας τε καὶ ἀδρανέας μάλα ῥέζει,
δειλοὺς πανταρβεῖς τε, φρεσὶν καταπεπτηῶτας,
αὐχμηρούς, ἑὸν ἦτορ ἀεὶ βλάπτοντας ἀνίαις.
Ἀλλ' Ἄρης οἴκοισι Κρόνου πολιοῖο βεβηκὼς
πανθαρσεῖς τεύχει καὶ πρήξεσι τολμήεντας·
πρὸς δέ τοι ἀργαλέους τε καὶ εὐτόλμους καὶ ἀτρέστους,
πρῆξιν παντοίην τε καὶ ἔργα τελοῦντας ἀμόχθως,
οἷσί τ' ἐφορμήσωσιν ἀεὶ τέκμωρ ἐπάγοντας·
φθείρει δὲ κλῆρον πατρώϊον, ἠδὲ συναίμους
πρεσβυτέρους πάντας κρυερῷ ζόφῳ ἀμφικαλύπτει.
Ἀφρογενοῦς δὲ Κρόνος γ' ἐπιὼν οἴκοις τάδε ποιεῖ·

158. *πολυγήθεος* Gr. *πολυγηθέος* LH.
159. *μηδ' ὅσσον* LH. „f. *ὅσσον*" Mrg.
161. *ἀμφιέθεν* LH. *ἀμφὶ ἔθεν* Gr. *ἀμφί θ' ἔθεν* Hermann. ad Orph. p. 749. *πολυμεῖον* LH. sed correctum in margine. *ἢ ἐν πελάασι* Gr. et LH. *ἐν πελάτῃσι* vel *ἐν πέλας οὖσιν* Dorvill. p. 646. *ἢ ἐκπεράαν τι.* Axt.
162. „*θ'* o(sic) *ἑτερ.* script." Mrg. *ὑποπεπτηῶτες* Gr. et LH. Nos — *τηῶτας* reposuimus.
163. *ὅσσα τε* Gr. *ὅσσα τ'* LH. *ὁππόσα τ'* Herm. ibidem. Nos: *ὅσσα δέ τ' ἐκτ.* Ego quondam conieci *ὑποπεπτηῶτες ὅσσα περ.* Axt.
165. *ἐκθεμένους ἢ καὶ σφετ.* Gr. et LH. Nos: *παῖδας* coniectura reposuimus. *σφετέροις* etiam hoc loco Dorvill. p. 156.
166. *οἴκοισιν* Gr. *οἴκησιν* LH. *ὁρίοισιν* corr. Dorvill. p. 646.
168. *πανταρκεῖς* LH. *πανααργεῖς φρεσιν* Holst. t. Mrg.
169. *ἀνείαις* Gr. et LH. „*ἀνίαις*" Mrg.
171. *πράξεσι* Gr. et LH. Nos *πρήξεσι* correximus.
172. *δ' ἔτι* Gr. *δέ τι* LH. *πρὸς δὲ καὶ* Herm. ad Orph. p. 749. *πρὸς δέ τοι.* Rigl. *ἀργαλέους καὶ* Gr. et LH. *ἀργαλέους τε καὶ* Herm. l. l. „*ἀτρέπτους* Mscr. *ἀτρέστους* superscript." Gr. *ἀτρέστους* etiam LH.
177. *Κρόνος ἐπιὼν* Gr. et LH. Nos *γ'* addidimus.

πρεσβυτέραις ζεύγνυσιν ἰδὲ δμωῇσιν ἀκιδναῖς,
ἢ ξυνὴν δήμοισι Κύπριν μισθοῦ παρεχούσαις·
πρὸς δ' ἔτι δυσγαμίην καὶ δυστεκνίην μάλ' ὀπάζει,
στείραις ἠδ' ἀτόκοισι συνάπτων δυσκλέα λέκτρα·
δηθάκι καὶ χείρεσσιν ἑὰς ἀλόχους ἐδάϊξαν
ζήλῳ ἀλαστήσαντες ἐπ' αἴσχεσιν, οἷς τελέουσιν.
Ἀφρογενὴς δὲ Κρόνοιο δόμοις λεχέων ὀλετῆρας
ἀλλοτρίων ἔρρεξε, καὶ ἀσπέρμους θέτο τέκνων,
οὐ μάλ' ἀγανομένους, μάχλου ἕνεκεν φιλότητος
οὔτε φίλων σφετέρων οὐδ' αὖ πατέρων ἀλέγοντας·
ἢ γὰρ δὴ κεδνῶν ἑτάρων γάμον αἰσχύνουσιν,
ἢ καὶ μητρυιῇσιν ἑαῖς ἢ παλλακίδεσσιν
σφωϊτέρου γενετῆρος ὁμὸν λέχος εἰςανέβησαν.
Ἐν δ' ἄρα χρυσοφαοῦς Ἑρμοῦ ζώοισι βεβηκὼς
Φαίνων ὀξείας μερόπων ἤμβλυνεν ἀκουάς,
καὶ λαλιῆς ἡμερσε φίλης ἢ γλῶσσαν ἔδησεν·
δεινοὺς δ' ἐν πραπίδεσσι καὶ οὐλοὰ μητιόωντας
κρυπταδίους τεύχει, σφέτερον νόον οὔτινι θνητῶν
φαίνοντας, δυκετῶν φονιώτερον ἰὸν ἔχοντας·
καὶ δὲ καὶ ἀῤῥήτων μύστας τελετῶν, μακάρων τε
ὄργια γιγνώσκοντας, ὅσ' ἐν βίβλοις ἐχαράχθη
κρυπταῖς, ἃς οὐ πᾶσι βροτοῖς θέμις ἐν φρεσὶν ἴδμεν·
ταύτης δ' οὐκ ἂν ὄναιντο δαημοσύνης· τάδε γάρ σφιν
ἀντ' ἀγαθῶν καὶ λυγρὰ καὶ ἀντία γίγνεται αἰεί.

178. *ζεύγνυσιν δὲ* Gr. *ζεύγνυσιν ἰδὲ* LH. et sic Dorvill. p. 335. *δμωῇσιν* Gr. *δμωῇσιν* LH.

179. *παρέχουσαν* Gr. et LH. Transpositis vers. 179 et 180 equidem correxi *παρεχούσαις*. Rigl.

180. *δέ τι* LH. *δυστοκίην* LH.

182. *δῆθι κι* Gr. *δηθάκι* LH. Nos *δηθάκι* correximus.

186. *μάλα γαυρουμένους* Gr. et LH. *μάλ' ἀγαλλομένους* Dorvill. p. 696. Ego *μάλ' ἀγανομένους* coniecl. Rigl. *μαχλοῦ* Gr. *μαχλῆς* LH. „scrib. *μάχλης*" Mrg.

188. *ἑτέρων* Gr. et LH. *ἑτάρων* Dorvill. p. 333.

190. *ὁμὸν* LH.

193. *ἐπέδησεν* Mscr. t. Gr. et Mrg.

200. *ὄνοιντο* Gr. *οἴοιντο* LH. *ὄναιντο* corr. Rigl.

201. *γίνετ.* Gr. *γίγνεται* LH. *καὶ δ' ἀντία* Gr. et LH. *καὶ ἀντία* Dorvill. p. 663.

Ταῦτα δὲ καὶ Στίλβων ῥέξει Κρόνου ἐν μεγάροισιν·
ἀλλ' ἄρα τοῖς ἦδος πέλεται σφετέρων ἀπὸ μόχθων·
τεύχει δ' οὐ μοῦνον βίβλων ἐπιΐστορας ἱρῶν,
παννυχίδων τελετῶν θ' ἡγήτορας, ἀλλὰ καὶ ἐσθλῶν
μάντιας, ἀστρονόμους καὶ ὀνειροπόλους, προπάροιθεν
ἑζομένους θυσιῶν, μακάρων ἀπὸ θέσφατα θνητοῖς
φαίνοντας, πτηνῶν τε ποτῆς ἄπο θεσπίζοντας,
πρήξεσι δ' ἐν βιότου ἑτέροις ὑποπεπτηῶτας.
Ὅσσοις δ' αὖ Φαέθων Ἄρεως οἴκοισι βέβηκεν,
τρισμάκαρες στρατιῶν ἡγήτορες, ἔν τε βροτοῖσιν
τιόμενοι πολίων ἡγήτορες ἢ βασιλῆες.
Ὡς δ' αὔτως καὶ Θοῦρος ἐπὴν Διὸς εἰς δόμον ἔλθῃ,
δωρεῖται κῦδος καὶ ἀπειρέσιον κράτος ἀνδρῶν·
τεύχει καὶ νηῶν ἠδ' ἱππήων πυλέων τε
ἡγεμόνας βασιλεῦσιν ἀρηρότας ἢ κατὰ μῶλον
ἀνθρώπους κτείνοντας ἑῇ ὀπὶ καὶ δεδαῶτας.
εἰ δ' ἄρα μὴ κέντρῳ πέλεται μηδ' εἰς τόσον εἴη
ὕψος, ἀειρόμενοι πάντων σφετέρων ὕπερ αὐτοὶ
τάττονται, κὴν δμωες ἀεικέλιοι τελέθωσιν.
Ἐν δ' ἄρα Κυπρογενοῦς ζῴοις Ζεὺς ὄλβον ὀπάζει,
παντοίων κτεάνων τε δόμους πίμπλησι βροτοῖσιν·
αὐτοὺς δ' αὖθ' ἑτάρους ἢ καὶ συνέδρους βασιλήων

202. „*ταῦτα*“ Mrg.
203. *τοῖσ'* Gr. *τοῖς* LH.
204. *μόνον* Gr. et LH. Nos *μοῦνον* correximus. — *εἰρῶν* Gr. *εἰρῶν* LH. *ἱρῶν* Holst. t. Mrg.
205. *παννυχίδων* Gr. et LH. fortasse *παννυχίων* Rigl. Nonne *ἐσθλοὺς*? Rigl.
207. *ἀτοθέσφ.* Gr. *ἄπο* (sic) *θέσφ.* LH. *ἄπο* Dorvill. p. 333.
209. *πρήξεσι δ' ἐν βιότῳ* Gr. et LH. *πρ. δ' ἐν βιότου* Dorvill. p. 646.
210. *ἀν* LH. *ἄρεος* LH.
211. *Στρις μάκ.* Mscr. t. Mrg.
212. *πολίων* Gr. et LH. *πολίων* Dorvill. p. 496.
213. *αὔτως* Gr. *αὔτως* LH.
215. *ἱππείων* Gr. et LH. *ἱππειῶν* Dorvill. p. 553. *ἱππήων*. Rigl.
216. *ἀρηρότας κατὰ μ.* Gr. et LH. *ἀρ. ἢ κατὰ μῶλ.* Dorvill. p. 553.
217. *κτείνοντας ἑῇ ὀπὶ καὶ δεδαῶτας* Gr. et LH. Ego conieci: *οἳ κατὰ μῶλον ἀνθρώπους κλίνουσιν ἑῇ ὀπὶ καὶ μεμαῶτας* Axt. Alias pro *ἑῇ ὀπὶ* coniecimus *ὑπ' ἄορι*.
218. *εἰς ὅσον* Gr. *εἰς τόσον* LH.
220. *κῆν* Gr. *κὴν* LH.
221. „*εἰ δ'* Mscr.“ Mrg.
222. *παντοίους* Gr. et LH. „lege *παντοίων*“ Mrg.

θνητοὺς λαοῖσι καὶ ἐν πολίεσσιν ἀγητοὺς
τεύχει καὶ σηκῶν μακάρων ἱερούς τε προέδρους
τιμαῖς κυδαλίμους ἠδ' ἐξαίτους γεράεσσιν,
πρήξιος ἐκ πάσης συναθροίζοντας πολὺν ὄλβον,
δήμου θ' ἡγητῆρας, οἳ ἐν χείλεσσιν ἑοῖσιν
φθέγξοντ' εἰν ἱεροῖσιν ἀκουόμενοι ὑπὸ λαῶν,
ζευγνυμένους ἀνδρῶν μεγάλων φιλότητι γυναικῶν,
ὧν ἄπο κυδήεντες ἰδ' ὄλβιοι ἐξεγένοντο.
Καὶ Κυθέρη Διὸς οἴκῳ ἢ εἰν ὁρίοισι φανεῖσα
εὐκλέας ἐν πολίεσσι καὶ ἐν δήμοισι τίθησιν·
κοσμεῖ καὶ μίτραις πέπλοισί τε πορφυρέοισιν,
στέμμασί τε χρυσοῦ, τοῖς δ' αὖ γεράεσσ' ἱεροῖσιν·
ἠδὲ γάμους δῶκεν φιλίους, καὶ λέκτρα γυναικῶν
ὤπασεν εὐθαλάμων· δῶκεν δέ τε λέκτρα γυναικῶν
εὐόλβων, ἰδ' ἑῇσιν ἐνὶ πτολίεσσιν ἄριστοι
κτήματά θ' ἕξουσιν κλεινὸν βίοτόν τε καὶ οἴκους·

224. *θνητοὺς* Gr. et LH. *θηητοὺς* corr. Gr. (in annott.) *ὄλλυσι* Gr. et LH. „lege *ὀλβίζει* vel *ὀλβίσει*" Mrg. *ὄλλυσι* suspectum habet Gron. *ἄλλοισι* correxit Hemsterh. ad Luc. Prometh. p. 25. (ed. Reitz.) *λαοῖσι* vel *δείκνυσι* Dorvill. p. 333. *ἐμπολίεσσιν* LH. *ἐν πολίεσσιν* Macr. t. Gr. *ἀγήτους* Gr. *ἀγητοὺς* LH.

226. *γεράσσιν* LH. fortasse *ἱερῶν τε προέδρους* vel. *ἱερούς τε πρ. τιμ. κυδαλίμους τ' ἠδ' ἐξ.* Rigler.

228. *δήμου ἡγ.* Gr. *δημοῦ* LH. addidi *θ'*. Rigl.

228. Pro *ἐν χείλ.* aliquando conieci *εὖ χείλ.* Axt.

229. „*φθέγγοντ'* alias" Mrg. *ἐν ἱερ.* Gr. et LH. *εἰν* correxi. Axt.

230. Desidero copulam *δ'* post *ζευγνυμ.* Rigl.

231. *ἀπὸ* Macr. t. Mrg. *ἠδ'* Gron. *ἰδ'* LH. et sic Herm. ad Orph. p. 812.

232. *ἐν* LH.

234. *κοσμεῖ καὶ* Gr. et sic Holst. t. Mrg. *κοσμεῖ τε* LH.

235. *στέμμασί τε χρυσοῦ. τοῖς δ' αὖ* (*αὐ* [sic] LH.) *γεράεσσι ἱεροῖσιν* Gr. et LH. „*γεράεσσ'*" Mrg. *γεράεσσ'* etiam Dorvill. p. 315. Nos *χρυσέοις ἠδ' αὖ γερ. ἱερ.* et alias *στέμμασί τε χρυσοῖο. τὰ γὰρ γέρας ἐστ' ἱερεῦσιν*. Fortasse: *τοῖσδ' αὖ γερ. ἱερ.* Axt.

237. *ἐκ θαλάμους* Gr. et LH. „fort. *ἐς θαλάμους*. — *εὖ* Holst." Mrg. Nos *εὐθαλάμων*. — *δὲ λέκτρα* Gr. et LH. *δέ τε λ.* Gr. (in annott.)

238. *ἐν ἔῃσι τ' ἐνὶ πολίεσσιν* Gr. *πτόλεσσιν* LH. *εὐόλβων' ἐπέεσσιν ἐνὶ πτολίεσσιν ἀρίστους* Dorvill p. 333. Nos emendavimus *ἰδ' ἑῇσιν ἐνὶ πτολίεσσιν.* — *ἀρίστους.* et v. 239. *κτήματα θ'* Gr. et LH. Equidem coni. *ἄριστοι κτήματά θ'*: posthac placuit *ἀρίστους· κτήματα δ'*, sed, illud praefero. Rigl.

239. Fortasse: *βίοτόν τ' ἐνὶ οἴκοις* Rigl.

προσφιλέας τ' ἔρδει καὶ τιμήεντας ἅπασιν,
πειθοῖ καὶ χαρίτεσσι τετιμένον ἦτορ ἔχοντας·
ἠδὲ καὶ ἄνδρας ἔτευξε γυναικείοισιν ἐπ' ἔργοις,
ἐξ ὧν χρήματα πολλὰ καὶ εὐφροσύνην πόρεν ἐσθλήν·
δηθάκι δ' αὖθ' ὑποτάσσει ὑπ' ἀσχολίῃσι τυράννων
ἢ μεγάλων ἀνδρῶν, οἷσιν κράτος ἶσον ἀνάξιν.
Ζεὺς δ' ἄρ' ἐν Ἑρμείαο τόποις πολύολβον ἔθηκεν,
εὐκλέ' ἐπιφροσύνης ἕνεκεν, βασιλήϊον ὄλβον
νωμῶντ' ἐν χείρεσσι, καὶ ἐκ πολίων ἐθνέων τε
χρήματα καὶ δασμοὺς συναγειρόμενον βασιλεῦσιν,
ἕν τ' ἔργων πρήξει μέγ' ὑπείροχον, ἐν δ' ἑτάροισιν
κεκλόμενον, μέγα δ' αὖτε νοῷ φρονέοντα, καὶ ἐσθλὴν
κτῆσιν ἀπ' ἀσχολίης βιότου φορέοντα πρὸς οἴκους.
Ἔμπαλι δ' Ἑρμείας δόμῳ εὐφεγγοῦς Φαέθοντος
παιδείης πραπίδεσσι σοφῆς παιδεύματ' ἔχοντας,
παίδων θ' ἡγητῆρας ἢ αὐτῶν θῆκεν ἀνάκτων,
ἢ δίφρῳ ἑζομένους, ὅθι τ' ἀργύρου ἐστὶν ἀμοιβή,
ἠὲ νόμων θεσμῶν τ' ἐπιΐστορας, ὧν ἕνεκ' αἰεὶ
πειθομένους κῦδός τε κατὰ πτόλιας μετέχουσιν,
ῥητῆρας μύθων τε, καὶ εἰν ἀγορῇσιν ἀρίστους
νείκεά τ' ἰθύνειν καὶ τειρομένοισιν ἀρήγειν,

240. προςφιλέας θ' ἔρδει Mscr. et Gr. πρ. τ' ἔρδει. LH.

241. χαρίτεσσι τετιμημένον Gr. et LH. τιμημένον Gr. (in annott.) τετιμένον vel κεκασμένον. Rigler.

243. πόρον Gr. et LH. πόρεν (sc. Κυθέρη). Rigler.

245. οἷσιν Gr. οἷς γε LH. οἴςιον Mscr. t. Mrg. οἴσιον Mscr. t. Gr. (in annott.)

246. πολὺν ὄλβον Gr. et LH. πολύολβον Dorvill. p. 640.

247. εὔκλε' ἐπ' εὐφρ. Gr. et LH. „Lego ἔτ'" Mrg. εὐκλεῆ τ' Gr. (in annott.) εὐκλέα τ' Dorvill. p. 640. εὐκλέ' ἐπιφροσύνης ἕνεκεν. Axt.

248. νομῶντ' Mscr. t. Mrg. νωμῶν τ' LH.

250. „f. ἔν τ' ἔτ'" Mrg. ἑτάροισιν Gr. et LH. Nonne ἑτέροισιν? Axt.

251. κεκλομένον Gr. et sic script. t. Mrg. κεκλόμενον LH. — αὖ τε Gr. αὖτε LH. et sic Dorvill. p. 333.

252. κλῆσιν LH.

255. παίδων δ' Gr. sed in corrigendis θ' — παίδων τ' LH.

256. δίφρ' ἑζομένους Gr. et Mscr. t. Mrg. διφρεζομ. LH. δίφρῳ ἑζ. Dorvill. p. 646.

258. „f. πειθόμενοι" Mrg. πόλιας Gr. πτόλιας LH.

259. ῥηθῆρας Gr. ῥητῆρας LH. et sic Dorvill. p. 302. — ἐν LH.

ἔν τε δικασπολίῃσιν ἐριδμαίνοντας ἔπεσσιν,
ὧν ἄπο πλοῦτον ἀπειρέσιον καὶ χρήματ' ἄγειραν·
ἄλλοι δ' αὖτε πέλονται ἀπαγγελέες βασιλήων,
πίστιν τ' ἀμφὶ δίκῃσι θεμιστοπόλων ὑπ' ἀνάκτων
ἴσχουσιν, κείνας σφετέρῳ νοῷ ἰθύνοντες.
Ἐν δ' ἄρα τοι Παφίης Ἄρης οἴκοισι βεβηκὼς
ἀλλοτρίων λεχέων κρυπτοὺς λυμάντορας ἔρδει,
δώροις ἠδὲ δόλοισιν ὀπιπεύοντας ἑταίρων
εὐνέτιδας πηῶν τε, καὶ αἴσχεα μακρὰ τελοῦντες
δύσγαμα νυμφεύονται ἀπ' ἀλλοτρίων ὑμεναίων·
ἀλλ' ἄρα κἀκείνων βιότοις ὀλέθρους ἐπάγουσιν,
ἢ καὶ ἑὰς κεδνὰς ἀλόχους χείρεσσ' ὀλέκουσιν.
Ζώοις δ' αὖ Πυρόεντος ἐπεμβεβαυῖα Κυθήρη
δυσγαμίην τεύχει καὶ ἐκ λεχέων μάλ' ἀνίας·
ἢ γὰρ ἄγοντ' ἀλόχους, ὧν ἄργυρον ὦνον ἔδωκαν,
δμωιάδας, αἵ τ' αὐτοὺς μάχλοις ἔργοισιν ἔπεισαν,
ἠὲ πολυμνήστῃσι συνευνῶσιν φιλότητος
αἰὲν κλεπτομένης, ὧν εἵνεκα δηριόωσιν·
οὐ γάρ τοι τίουσ' οὐδ' αὖ φιλέουσι συνεύνους·

261. δίκας πτολίεσσιν Gr. et LH. δικασπολίῃσιν. Hemsterh. ad Lucian. Prometh. p. 25.

262. ἄγειραν „ita S. M. quum esset scriptum antiquitus ἄγειραι" Gr. ἄγειραν etiam LH.

263. ἀπαγγελίες Gr. et LH. ἀπ' ἀγγελ. Holst. t. Mrg. Olim conieci. ἀπ' ἀγγελίης. Rigier.

264. δίκαις Gr. δίκαισι LH. et sic Dorvill. p. 234. „ἀνακτῶν script." Mrg.

265. κεῖνο Gr. et LH. κείνας Dorvill. ibid.

267. κρύπτουσα LH. et sic Mscr. t. Gr. ἔρδει Gr. et LH. „ἔρδει script." Mrg.

268. „ὀπιπ. script. ὀπτι. al." Mrg. ὀπιπεύοντας Mscr. t. Gr.

269. αυνετίδας Gr. αυνέτιδας LH. εὐνέτιδας Dorvill. p. 269. „ἴσχεα script." Mrg. Post τελοῦντας distinctum est apud Gron. et in LH. Equidem deleto commate lego τελοῦντες. Rigler.

270. νυμφεύοντας Gr. et LH. νυμφεύονται coni. Rigier.

271. „κἀκεῖνον Holst." Mrg.

272. χερσὶν Gr. et LH. χείρεσσ' Dorvill. p. 617.

276. δμῳάδας Gr. δημωϊάδας LH. Nobis olim δμωΐδας placuit. μαχλοῖς Gr. et sic script. t. Mrg. μάχλοις LH.

277. πολυμνήστοισι Gr. et LH. Ego πολυμνήστῃσιν corr. Rigier. συνεύνοισιν Gron. et LH. συνευνῶσιν coni. Gr. (in annott.)

279. τοὺς ἴους Gr. τοὺς τίουσ' LH. „fort. τοὺς ἰδίους" Mrg. οὐδ' ἂν LH. τοὺς πήους coni. Gron. (in annott.) τοὺς τίουσ' Dorvill. p. 617 οὐ γάρ τοι τίουσ'. alias secundum marginalem et Rigieri coniecturam οὐ γὰρ τὰς ἰδίας οὐδὲν φιλ. Axt.

τῷ δὴ καὶ κρίσιας καὶ νείκεα πολλάκις ἔσχον
σὺν σφετέραις ἀλόχοις, καὶ αὐτῶν εἵνεκα δηθὰ
ἐν συνοχῇσι γένοντο, καὶ ἀλλήλους ἀθέριξαν,
ἠὲ γυναικείης κεφαλῆς χάριν εἰργμὸν ἔδωκαν.
ἢν δὲ γυναικὸς ἔῃ γενέθλη, μάλ' ἀγήνορα τεύχει
καὶ γαῦρον βουλῇσιν ἑαῖς πίσυνον καὶ ἄκαμπτον.
πάγχυ δ' ἄρ' ἐς φιλότητ' ἀλύκην τοκετῶν ἐποχήν τε
ὀτλήσει, καὶ δηθὰ λυγρῇ περὶ γαστρὶ μογήσει·
ἤτοι πρὶν γονίμης ὥρης βρέφη ὠμοτοκοῦσιν,
ἠὲ νεκρῶν περὶ γαστρὶ μέλη τέμνουσ' ἄπο τέκνων·
τὰς δ' ἄλλας ἄνδρεσσιν ἴσας κάμνουσιν ἀνίας.
Καὶ μὴν καὶ Πυρόεις οἴκοις θοοῦ Ἑρμάωνος
οὐλοὰ μηδομένους στέρνων ἔντοσθεν ἔθηκεν,
ἄγριά τ' ἐν πραπίσιν βουλεύματα ποικίλλοντας,
ᾗσι κακοφροσύνῃσιν ἀεὶ μερόπεσσι συνόντας,
ὡς δὴ καί τ' ἄλλοις ὑποφήτορας ἔμμεν ἀνιῶν·
καὶ δὲ δικοῤῥαφίης δεδαηκότες εἰν ἀγορῇσιν
κλήσιας ἀϊδίους καὶ νείκεα πυκνὰ ἐκόντες
ἴσχουσιν· φήμη δὲ κακὴ περιδέδρομεν αὐτούς,

Aliquando opinatus eram: οὐ γὰρ κουριδίας οὐδὲν φιλέουσι συν. Rigl.

282. καὶ ἀπλήτοις ὀχέεσσι in mrg. Mscr. t. Gr. sed in mrg. libri Halensis haec sunt annotata: „in mrg. Mscr. ἀλλήλοις ἀχέεσσι.“ cf. Dorvill. p. 647.

283. εἰργμὸν Gron. εἰργμὸν LH. ἔδωκαν Gr. et LH. Aliquando coni. ἔνειχαν. Axt.

284. γενέθλη Gr. γενέθλῃ LH. et ita placuit Gr. (in annott.)

285. βουλαῖσι νεαῖς LH. βουλαῖσιν ἑαῖς etiam Holst. t. Mrg.

286. εἰς LH. φιλότητα λύπην Gr. et LH. δύην Dorvill. p. 417. φιλότητ' ἀλύκην. Rigl. τοκετῶν τ' Gr. et LH. τ' delevit Dorvill. ibid.

287. ὀχλήσει Gr. et LH. ὀτλήσει. Rigl.

288. αἱμοτοκοῦσαν Gr. et LH. ὠμοτοκοῦσα (Gron. in annotat. ad v. 284.) ὠμοτοκοῦσιν Dorvill. p. 417.

289. τέμνουσ' ἀπὸ Gr. et LH. τέμνουσ' ἄπο Dorvill. ibid.

290. τὰς δ' ἄλλας ἀνδράσιν ἴσαις κάμνουσαν ἀνίαις Gr. et LH. (in quo ἀνδράσι.) ταῖς ἄλλαις ἄνδρεσσιν ἴσαις κάμνουσιν ἀνίαις Dorvill. ibid. Nos ἴσας κ. ἀνίας. — Fortasse ταῖς δ' ἄλλαις — κάμνουσ' ἐν ἀνίαις. Axt.

291. ναὶ μὴν Gr. et LH. καὶ μὴν Axt.

292. ἔνθοσθεν Mscr. t. Gr.

294. τοῖσι Gr. et LH. ταῖσι vel τῇσι coni. Gron. ᾗσι Axt. κακοφροσύνῃσι αἰεὶ LH. ἀεὶ Holst. t. Mrg.

296. δεδαηκότας Gr. et LH. δεδαηκότες. Axt.

297. κρίσιας — εἰδίας Gr. et LH. ἰδίας Holst. κλήσιας ἀϊδίους vel ἀϊδίους κρίσιας Dorvill. p. 647. πυκνά τ' ἔχοντες· Gr. et LH. πυκνά ἐκόντες Dorvill. ibid.

καί τε διχῶν μέγα πλῆθος, ὃ δὴ μάλ' ἀχρήμονας ἔρδει·
πολλοὶ καὶ παίδων γε καθηγητῆρες ἔασιν
πρὸς δ' ἔτι καὶ ψεύστας, ἀθέους, ἀθεμίστια ἔργα
μηδομένους, κλῶπας, ληΐστορας, ἀνδροφονῆας,
ὅρκων οὐδ' ὅσσον βιότῳ κρυερῷ ἀλέγοντας.
Ταῦτα δὲ καὶ Στίλβων Ἄρεως ἐν δώμασιν ἔρδει,
πλαστογράφους τεύχων, λυμάντορας, ἠπεροπευτάς,
ἀλλοτρίου πλούτοιο λιλαιομένους κτεάνων τε·
πολλάκι καὶ κτεάνων πίστεις, ὧνπέρ τις ἔδωκεν
λάθρῃ παρθέμενος, κακομητίῃ ἠρνήσαντο,
χρήματα πολλὰ διδοῦσιν, ἃ πολλῶν χρεῖος ἐτύχθη·
πρὸς δ' ἔτι φαρμακίης ὀλοῆς ἐπιΐστορας ἔρδει·
ὧν ἕνεκεν πάντων καὶ ὑπ' εἰδόσιν ἶφι μάχεσθαι
λάθραις κερτομίαις τε κατὰ πτόλιας σοβέονται.
Ἐν δ' Ἑρμοῦ ζώοισι φιλομμειδὴς Ἀφροδίτη
θῆκε προϊσταμένους μεγάλου βιότοιο γυναικῶν·

299. *καὶ διχῶν* Gr. et LH. *καί τε διχῶν* Dorvill. p. 645.

300. *πολλοὶ δὲ* LH. *πολλοὶ καὶ* Gron. et sic Holst. t. Mrg. *καθηγητῆρες* Gr. et LH. Fortasse *παίδων μάλα θηρητῆρες ἔασιν*: sed omnino hunc versum indico iniquo loco inculcatum et in sequentibus versibus nominativos restituendos Rigl. *κυνηγητῆρες* vel *καταισχυντῆρες*. Axt. *τε* Gr. et LH. Nos *γε* correximus.

301. *δέ τι* Gr. *δ' ἔτι* LH. „*ἄθλια*" Mrg.

303. *ὅσσων* Gr. ex coni. sed in annott. *οὐδ' ὅσσον* reduxit: *οὐδ' ὅσσον* Mscr. et LH. et Spitzner de vers. hom. p. 158.

305. *πλαστογράφον* Gr. *πλαστογράφους* LH. et sic Gron. correx. (in annott.) „*ἠπεροπ.* script." Mrg.

307—309. *ἔδωκεν, λάθρῃ παρθεμένους κακομ.* Gr. et LH. *ἠρνήσαντο* Gr. Nullum distinguendi signum in LH. *δίδουσι* Gr. *δίδουσιν* LH. „forte *δίδωσιν*" Mrg. Verba *χρήματα — ἐτύχθη* in libro Hauksi uncis inclusa sunt. — Fortasse hic versus inserendus post v. 304. ac scribendum: *ἔρδει· χρήματα πολλὰ δίδωσιν*, (sc. *Στίλβων*.) *ἃ . . ἐτύχθη*, *πλαστογράφους τεύχων* Rigl. *χρῆος* Gr. et LH. *ἀπόλλων* LH. *παρθεμένοις — χρεῖος* Dorvill. p. 647. *δίδουσι* (an *διδοῦσι*?) *τὰ* Herm. ad Orph. p. 749. *ἔδωκεν λάθρῃ παρθέμενος, κακ.* Rigler. *χρήμ. πολλὰ διδοῦσιν* et aliquando *παρθεμένοις* (et Dorvill.) *κακ. ἠρνήσαντο*, *χρ. πολλὰ δὲ δοῦσιν* Axt.

310. *δέ τι* Gr. *δ' ἔτι* LH.

311 et 12. *ὑπ' ἀνδράσιν ἶφι μάχεσθαι λάθραις κερτομίαις τε κ. πτ. σεβέονται.* Gr. et LH. *σοβέονται* Gr. (in annott.) et Dorvill. p. 647. pro *ἶφι μάχεσθαι* suspicator *ἶφι μαχαίρῃς* Dorvill. ibid. Aliquando opinatus sum: *ἶφι μάχεσθαι λαιδροῖς*, nunc autem *ὑπ' εἰδόσιν ἶφι μάχεσθαι*. Pro *λάθραις* fortasse legendum est *λάβροις*. Rigl. Ego aliquando conieci *ὧν ἕνεκ' οὐ πειρῶνται ἐπ' ἀνδράσιν ἶφι μάχεσθαι* (et cum Riglero) *λαιδραῖς κερτομίαις τε* Axt. Nonne *λάθροις*?

313. *φιλομηδής* Gr. et LH. *φιλομμειδής* correximus.

κείνων δ' εἵνεκα δηθὰ κρίσεις καὶ νείκε' ἔχοντας,
οἷς ἐπὶ κῦδος ἔθηκεν ἰδ' εὐκλέα πολλάκι νίκην·
οἱ δὲ θεῆς ἱεροῖο προφήτορες εὐκτεάνοιο
γίγνονται, τιμῆσιν ἀπ' αὐτοῦ πλοῦτον ἔχοντες.
τεύχει δ' ἐν τούτοισι τόποις καλὴ Κυθέρεια
αἰόλ' ὑπὸ χροιῇ ποικίλματα δαιδάλλοντας
παντοίοις ζώοισιν ἐοικότα, τοὺς μὲν ἐφ' ἱστῶν
κερκίσιν ἠδὲ χερῶν τεχνήμασιν, ἀμφί τε πέπλοις
δεικνύντας μορφὰς θηρῶν πάντων τε καὶ ἀνδρῶν·
τοὺς δὲ καὶ ἐν γραπτοῖς μελιηδέος ἄνθεσι κηροῦ,
ἄλλους δ' ἐν πετάλοις στεφανώματα ποικίλλοντας·
οὓς δὲ καὶ ἀνθοβάφους ἁλίων ἄπο θήκατο κόχλων,
εὐόδμων τε μύρων τεῦξεν τεχνήτορας ἄνδρας.
Ἑρμῆς δ' αὖτ' οἴκοισι φανεὶς καλῆς Κυθερείης
προσφιλέας θῆκεν καὶ τιομένους μάλα πᾶσιν,
μορφῇ θ' ἱμερόεντας ἰδ' αἱμύλα κωτίλλοντας,
παντοίης μούσης ἐπιΐστορας, ἠδ' ἄρ' ἀοιδοὺς
εὐκλέας, ἢ κιθάρης ὑποφήτορας ἐξετέλεσσεν,
ἠὲ μελῶν μολπαῖς εὐρύθμοις εὔφρονας ἄνδρας·
οὓς δὲ πολυτρήτοις λιγέως μέλποντας ἐν αὐλοῖς,

315. „ἔχοντες script." Mrg. δῆθα Gr. et LH.

316 ἔπι LH. „ἐπὶ script." Mrg. εὐκλεᾶ LH. „εὐκλέα script." Mrg.

317. θεῆς Gr. et LH. Malim θεᾶς. Axt.

318. γείνονται Gr. et LH. γίνονται Holst. t. Mrg. τιμαῖσιν Gr. et Holst. t. Mrg. τ' ἱμαῖσιν LH. ἔχοντας Gr. et LH. ἔχοντες Holst. et sic Dorvill. p. 461. Pro ἀπ' malim ὕπ' vel ἔπ'. Axt. Aliquando suspicatus sum γίγνονται τιμῆντες, ἀπ' αὐτοῦ πλ. ἔχ. aut γίγνονται, τιμῇσι καὶ αὐτοὶ πλοῦτον ἔχοντες. Rigler.

319. „τεύχει τ'" Mrg.

321. ἐοικότατοι Mscr. t. Gr. ἐοικότα τοι LH. ἐοικότα, τοὺς μὲν Gr. (in annott.) ἐφ' ἱστῶν Gron. ἐφίστων LH. et Mscr. t. Gr. „f. ἐφ' ἱστῶν" Mrg.

324. ἐν γραφαῖς Gr. et LH. ἐν γραπτοῖς Dorvill. p. 647. Fortasse εὐγραφίας Axt.

326. ὃς δὲ Gr. οὓς δὲ LH. et Dorvill. p. 333. — ἀπεθήκατο Gr. et LH. ἄπο θήκατο Dorvill. ibidem.

327. τεῦξε Gr. et LH. Nos τεῦξεν correximus.

329. τιμομένους Gr. et LH. τιομένους Gron. (in annott. ad v. 241.) et Dorvill. p. 496.

330. αἷμυλα LH. αἵμυλα Gr.

333. εὕρετο. Gr. et LH. εὐρέτας vel ἴδριας Dorvill. p. 647. Illud ipse improbat p. 680.— μολπῆς εὐρύθμου Gr. et LH. μολπαῖς εὐρύθμοις εὔφρονας, et aliquando μολπῆς εὐρύθμου εἰδότας conieci. Rigler.

334. οἳ δὲ Gr. et LH. οὓς δὲ Axt. λιγέως Mscr. et LH. λιγέως corr. Gron. μέλποντες Gr. et LH. μέλποντας Axt.

ἄλλους ὀρχηθμοῦ βητάρμονας ἴδριας ἔρδει·
παιδευτὰς δ᾽ ἄλλων τοίων ἔργων ἀνέφηνεν,
ἐξ ὧν ὄλβον ἐΰκτέανον κῦδός τ᾽ ἐνὶ δήμοις
ἄρνυνται, χαρίτεσσι κεκασμένοι εὐεπίῃ τε·
πρήξεσι δ᾽ ἐν βιότου πάντες μακάριστοι ἔασιν,
οἷσί τ᾽ ἐπιθύνωσ᾽ ἔργοις, πάντ᾽ ἐκτελέουσιν
ᾗσιν ἐπιφροσύνῃσιν ἀμόχθως, ὥς κ᾽ ἐθέλωσιν.
Ἐν δὲ Λέοντι, δόμῳ πανδερκέος Ἠελίοιο,
Φαίνων μὲν μεγάλους τε καὶ ἐκ πατέρων ἀριδήλων
τεύχει, καί τ᾽ ὄλβῳ βιότου μέγα κῦδος ὀπάζει·
ἀλλὰ κακῷ θανάτῳ ὀλέσει πάντως γενετῆρα
ἢ βίῃ, ἢ φθορίμων ὑγρῶν πλήθεσσι χαλέψας.
Δεικήλῳ δ᾽ ἐν τῷδε Διὸς πολυφεγγέος ἀστὴρ
ὥς τ᾽ οἴκῳ σφετέρῳ χαίρει, ἐπεί ἐστι τρίγωνον
αὐτοῦ, ὡς καὶ πρόσθεν ἀείσαμεν, Ἠελίου τε,
καὶ μεγάλους βασιλῆας ἢ ἴσους κοιρανέουσιν,
ἤ που τῶν ἑτάρους τεύχει, λαοῖσιν ἀγητούς,
πάντας δ᾽ ἀφνειοὺς καὶ τιμήεντας ἔθηκεν.
Αὐτὰρ Ἄρης ἐπὶ τῷδε πατρώϊα πάντ᾽ ἐκέδασσεν,
καὶ σίνος ὀφθαλμῶν δῶκεν, βιότου δ᾽ ἄρα πρῆξιν
πολλὴν ἀμφὶ πυρὸς πολιοῦ τ᾽ ἄπο δῶκε σιδήρου,
τοῖς δ᾽ ἔργοις σκληρὰς καὶ ἀπηνέας ὤπασε τέχνας.
Αἰεὶ δ᾽ ἔν τε Λέοντι καὶ ἐν Μήνης δόμῳ ὀφθεὶς
ὠκυμόρους τεύχει· τοὺς δ᾽ ἡμιβίους ἐναρίζει.
Ἀφρογενὴς δὲ Λέοντι βεβηκυῖ᾽ οὐ μάλα χαίρει·

336. τοιῶν LH. sed correctum in mrg. τοίων. „fort. π. τ᾽ ἄλλ.“ Mrg.

337. τ᾽ εὐκτεάν. Gr. et LH. ἐΰκτεαν. Axt. τε ἐνὶ LH.

340. ἐπιθύνωσ Gr. ἐπιθύνωσ᾽ LH. et sic Dorvill. p. 338.

341. „ὥς κε θέλωσιν Holst.“ Mrg.

346. καλύψας Gr. et. LH. χαλέψας coni. Dorvill. p. 647.

347. „δεικήλῳ script.“ Mrg. πολυφέγγεος Gr. et LH.

350 ἢ μεγ. Gr. et LH. καὶ μεγ. Axt.

351. ἢ που τῶν ἑτέρους. Gr. et LH. ἢ τούτων ἑτ. Gron. coni. (in annott.). sic etiam Dorvill. idem correxit ἑτάρους p. 333. — ἤ που τῶν ἑτάρ. Rigl.

353. αὐταρ Macr. t. Mrg.

355. ἀπέδωκε Gr. et LH. ἄπο Axt.

356. ἀνηπέας LH.

359. βεβηκυῖα οὐ Gr. et LH. Nos βεβηκυῖ᾽ οὐ correximus.

δυσγαμίην τεύχει, ποτὲ δ' αὖ ἀλόχοιο διείργει.
Ἀλλ' Ἑρμῆς πινυτούς τε καὶ ἐν μύθοισι φερίστους
ἔρδει, καὶ βιότῳ προφανεῖς καὶ ἀγακλέας ἄνδρας·
Ἐν δ' οἴκῳ Μήνης Φαίνων μητρὸς βίον αἰεὶ
φθείρει Ἠελίου γε βολὰς καὶ φέγγος ὁρώσης·
αὐτοὺς δ' ἐν νούσοις δολιχαῖς ἄταις τε δάμασσεν,
ἠὲ μελαγχολίῃσι καὶ ἄλγεσι κρυπτομένοισιν,
ἄχρι κεν ἵζηνται μακάρων ἱεροῖς παρὰ βωμοῖς.
Γηθεῖ δ' αὖ Φαέθων ἐν Καρκίνῳ, οὕνεκεν αὐτοῦ
ὑψοῦται, πλεόνων τε γονὴν τέκνων μάλ' ὀπάζει,
καὶ βίον ἐν μεγάροισι καὶ εὐκλέα φῆμιν ἀπάντη
δῶκεν, καὶ μεγάλων φιλίην καὶ κέρδεα νωμᾶν.
Ἄρης δ' ἐν Μήνης οἴκοις μεγαθαρσέας ἔρδει
καὶ μάλ' ἀγηνορίῃσι πεποιθότας, οὐκ ἀλέγοντας
οὔτε τι κινδύνων ἰδ' ὁμοκλῆς, οὔτε φόβοιο·
τῷ καὶ σφάλλονται θαμινὰ σφετέροισιν ἐπ' ἔργοις·
ἄλλοι δ' αὖ τέχνης ἐπιΐστορες ἐξεγένοντο·
πάντες δ' ἀλγεινοῖσι περιπταίουσι σίνεσσιν,
τῶν πλεόνων δὲ βίῃ θάνατος καὶ μοῖρα τελεῖται.
Οὐδὲ μὲν οὐδὲ Κύπρις γηθεῖ Μήνης ἐνὶ οἴκῳ·
μάχλους γὰρ τεύχει καὶ τερπομένους φιλότητι,
ἄλλα τ' ἐπ' ἀλλήλοις καί τ' αἴσχεα πολλὰ τελοῦντας·

360. δυςγαμίην τεύχει Gr. et LH. Olim conieci δύσγαμα γὰρ τ. Axt. ἀλόχοισι διείργει Gr. et LH. ἀλόχοιο δ. Axt.

362. ἀγλέας LH. „ἀκλέας" Mscr. et Holst. „f. ἀγακλέας" Mrg. et sic Gron.

364. ἠελίουτε Gr. et LH. ἠελίου γε aut ἠελίοιο. Rigler.

365. „τ' ἐδάμασσεν Holst." Mrg.

367. εἴζηται Gron. (sed vertit *sedent.*) εἵξεται LH. „ἵξηται Holst." Mrg. ἵζηται Dorvill. p. 681. Nos ἵζηνται restituimus.

368. „ἂν script." Mrg. γήθει Gr. et LH.

369. πλειόνων Gr. et LH. „πλεόνων Holst." Mrg.

370. μεγάροισιν Gr. et LH. ἀπάντη Gr. ἁπάντῃ LH.

371. μεγάλων φιλίην Gr. φιλίην μεγάλων. LH.

372. δ' abest a LH.

374. οὔ τ' ἔτι LH. „οὐδέτι Holst." Mrg. οὐθ' Gron. οὔτ' LH. ὁμοκλῆς οὔτ', οὔτε φόβοιο aut ἰδ' ὁμοκλῆς Dorvill. p. 496.

375. θαμηνὰ Mscr. t. Gr. et LH. „θαμινὰ Holst." Mrg.

376. „ἂν script." Mrg.

378. πλειόνων Gr. et LH. in Mscr. super script. πλεόνων t. Gr. „πλεον. Holst." Mrg.

379. γήθει Gr. et LH.

380. μαχλοὺς LH.

381. ἀλλήλοις καί τ' Gr. et LH. Aliquando coni. ἀλλήλοισι κάκ'. Axt.

καὶ δ' ἑτέροις τροπικοῖς ζώοις πάντεσσι τάδ' ἔρδει.
Χρυσοφαὴς δ' Ἑρμῆς ἐν Καρκίνῳ αἰθροπολεύων
ὀξεῖς ἐν πραπίδεσσι, νοήμονας, ἄλλοτέ τ' ἄλλῃ
βουλῇ τερπομένους, μήτ' ἔμπεδα μητιόωντας
ῥέζει, καὶ μύθοις ἀγαθοὺς ἔργοις τε φερίστους.
Ἠέλιος δ' αὐτὸς μὲν ὑπὲρ χαροποῖο Λέοντος
εὐκλέας ἐν βιότῳ καὶ ὑπείροχον εὖχος ἔχοντας
ῥέζει· κέντρου δ' αὖτε τυχὼν βασιλῆας ἔτευξεν,
ἥν γ' ἐσθλῶν κοσμῆται ὑπ' ἄστρων μαρτυρίῃσιν.
Ὡσαύτως καὶ Μήνη ἑὸν δόμον ἀμφιβεβῶσα
πρήξιας ἀνθρώπων ἀγαθὰς καὶ κῦδος ὀπάζει·
ἢν δὲ μεσουρανέῃ νυκτός, βασιλῆας ἔθηκεν.
οὐ γὰρ ἀμειβόμενοι ζῷ' ἀλλήλων κατὰ κύκλον,
ζώοις δ' ἐμβεβαῶτες ἐπ' ἀλλήλων κατὰ κύκλον,
Μήνῃ μὲν Τιτάν, Μήνη δὲ γέγηθε Λέοντι.
Τοῖα μὲν ἀλλήλων οἴκοις ὁρίοις τε παρόντες
τεύχουσ', ἄλλα τε πολλὰ πολυτλήτοις μερόπεσσιν.
Αὐτὰρ ἀληθείην πᾶσαν βροτέου βιότοιο
σύγκρασις διέκριν', ἐπιμαρτυρίαι τε φαεινῶν
ἄστρων ἀλλήλοις, χῶροί θ', ὑπὲρ ὧν γεγάασιν·
ὅσσα δ' ἅμ' Ἠελίῳ δρῶσιν παρεόντες, ἀείσω.
Πάντες μὲν χαίρουσιν ἐπ' ἀντολίῃσιν ἐόντες,
ὡς ἂν ἑοῖσιν ἕκαστος ἀγαλλόμενος βασιλείοις·
καί ῥά τ' ἐπ' ἀντολίαις μὲν ἐόντες, ἐῇ νεότητι,

382. ζωδίοις Gr. et LH. ζωδίοις retinet per syniz. Gron. in annot. ad l. III, v. 144. — ζώοις. Axt.

384. ἄλλοτ' ἔτ' ἄλλης LH. sed in mrg. ἄλλοτέ τ' ἄλλης — ἄλλοτέ τ' ἄλλῃ Macr. t. Mrg.

385. βουλῆι LH.

389. κέντρον Gr. sed in corrigend. κέντρου et ita LH.

390. κοσμῆται Gr. (ex conl.) κοσμῆτε Macr. t. Gr. et sic LH. ἦν τε vulg. Nos γε reposuimus.

393. βασιλῆα Gr. βασιλῆας LH. sic etiam Herm. ad Orph. p. 749.

395. „εὐβεβαῶτες Macr." Mrg.

396. μήνης μὲν. Gr. et LH. μήνῃ μὲν correxi. Rigler.

397. οἴκοις ὁρ. Gron. οἴκοις τ' ὁρ. τέ περ ὄντες LH. „τε παρόντες Macr. et Holst." Mrg. πάρ superscr. t. Gron.

400. διακρίν' Gr. et LH. „διάκριν' Macr. lege διακρίνει" Mrg. διέκριν' Dorvill. p. 648.

401. χώροις θ' Gr. et LH. Equidem χῶροί θ' conieci commate post ἀλλήλοις posito. Rigler.

405. ἐπ' ἀντολίης μὲν ἐόντες, εἰς νεότητα Gr. et LH. ἔτ' εἰς νεότητα Dorv.

θνητοῖς πάντα τελοῦσιν ἄγαν κρατεροί περ ἐόντες·
ἑσπέριοι δὴ βαρδύτεροι προϊοῦσι χρόνοισιν,
δειλοὶ δ' αὐγῆσιν μαλεραῖς ὑποπεπτηῶτες
ἀδρανέες τε πέλονται, ἐὸν σθένος ἀμβλύνοντες.
Φαίνων μὲν δὴ πρῶτα σὺν Ἡελίῳ κατὰ πάντων
ζωιδίων τελέθει ξυνεὼν ἀγαθῶν τε κακῶν τε,
κρείσσων μέν τε κατ' ἦμαρ ἐών, βλάπτων δ' ἐνὶ νυκτί·
τεύχει γὰρ πατέρας μὲν ἀγακλειτοὺς καὶ ἐπόλβους·
μητέρα δ' ὠκύμορον θανάτῳ διέκρινε τοκῆος,
αὐτῶν τε κτῆσιν μινύθει οἰκόν τε πατρῷον,
ἀλλ' οὐχ ὡς πενιχροὺς πάμπαν καὶ ἀχρήμονας εἶναι.
Καὶ Φαέθων μετὰ Τιτῆνος πατρώϊα πάντα
φθείρει, παντοίαις τε βλάβαις ἄταις τ' ἐπέδησεν·
πολλάκι καὶ ξείνης γαίης ἔπι πήματ' ἔδωκεν·
τοὺς δ' ἄρα καὶ πάτρης γλυκερῆς θῆκεν μετανάστας.
ἧσσων δ' ἑσπέριος γεγαὼς ἀδρανέστερα ῥέζει,
ἠῷος μὲν ἀμείνον', ἐφ' ἑσπερίῃσί τε δεινά.
Ἄρης δ' Ἡελίῳ συνιὼν πατράσιν μὲν ἀνίας,
γεινομένοις δ' αὐτοῖς θόρυβον καὶ πήματ' ἔδωκεν.
ἠματίῃ γενέθλῃ δ' ὀλοώτερος ἔπλετο πάντων.
Ἀφρογενὴς δὲ συνοῦσ' Ὑπερΐονι γεινομένοισιν
δυσγαμίην παρέχει καὶ δύσκλειαν περὶ λέκτρα·

p. 334. Fortasse ἐπ' ἀντολίην μὲν ἐόντες ἑὴν νεότητα aut ἐπ' ἀντολίαις μὲν ἐόντες, ἑῇ νεότητι Axt.

406. *παρεόντες* Dorvill. ibidem.

407. *δὲ βραδιότεροι* Gr. et LH. *δὴ* vel *δέ τε βαρδύτεροι* Axt.

408. *δειλὸν* vel *δειλοὶ αὐγῆσιν* Dorvill. p. 334.

409. *ἀνδρανέες* scr. t. Mrg.

411. *ξυνὼν* Gr. et LH. *ξυνῶν* Mscr. „*ξυνεών* scribe" Mrg. *ξυνὼς* vel *ξυνῇ* mavult Dorvill. ibid. Nos *ξυνεὼν* restituimus.

412. *ἐν* pr. m. t. Gr. *μέν τε* Gr. et LH.

413. *ἀγακλειτοὺς* LH *ἀγακλείτους* Mscr. (t. Mrg.) et Gron.

415. *μηνύθει* Mscr. t. Gr. et Mrg. Fortasse *αὐτῶν δὲ*. Rigl. *καὶ πατρώϊον οἶκον*. Gr. et LH. *καὶ πατρῷον οἶκον* Arnold. *καὶ* deleri iubet Dorvill. p. 644. Idem *μινύθει τε πατρώϊον οἶκον* ibidem. Nos *οἰκόν τε πατρῷον* scripsimus.

417. „*φθειρεῖ* Mscr." Mrg.

419. *ἐπὶ* Gr. et Mscr. t. Mrg. *ἔπι* LH.

420. *ἧσσον* Gr. et LH. *ἥσσων* Axt.

422. *ἀμείνων* Gr. et LH. *ἄμεινον* vel *ἀμείνων*, sed deleto *ἐφ'*: vel denique *ἀμείνον'* Dorvill. p. 694. — „*ἐφ' ἑσπερίοισι* Holst." Mrg. *δεινῶς* Gr. et LH. *δεινά*. Rigler.

425. *ἠματίῃ* LH. „*ὀλοῶτ.* Mscr." Mrg

ἤ τοι γὰρ δούλῃσι πενιχραῖς ἢ καὶ ἀνάγνοις
ἢ καὶ πρεσβυτέρῃσι συνέζευξεν μάλ' ἀεικῶς,
ἢ ἔτι καὶ πιναροῖσιν ἐφεζομέναις στεγέεσσιν.
Ἑρμῆς δ' Ἠελίῳ ξυνὴν βαίνων κατ' ἀταρπὸν
ἤμερσεν σοφίης καὶ παιδείης μάλα πολλῆς·
ἐζομένους ποίησε βίους μάλα τοι παναγητούς,
ἀνέρας ἀφνειούς· μάλα δ' ἠῴησιν ἀνάσσων,
πρῆξίν θ' ἥσσονα δῶκε καὶ ἐν πρήξεσσιν ὑπ' ἄλλοις.
Τόσσα μὲν Ἠελίῳ μούνῳ ξυνῇ παρεόντες
ῥέζουσ', ἶσα δὲ τοῖσι καὶ ἀντίον Ἠελίοιο
φαινόμενοι· Μήνη δ' οἷον τοῖσιν παρεοῦσα
ῥέζει ἐν δισσῇσιν ἀποῤῥοίαις συναφαῖς τε
θνητοῖσιν μογερὸν βίοτον, δὴ νῦν ἐνέποιμι.
Ἀστέρι μὲν Φαίνοντος ἐπερχομένη συναφῇσιν,
αὐγαῖς αὐξομένη κρείσσων· περὶ μητέρα δ' αἰνοὺς
ψυχμοὺς ἠδὲ νόσους παρέχει, σίνεσίν τε προσάπτει·

428. δούλαις ἢ πενιχρ. Gr. et LH. δούλαισι π. ἢ καὶ Dorvill. p. 315. ἀνάγναις LH. „ἀνάγνοις Mscr.“ Mrg.

429. ἀΐστως Gr. et LH. ἀεικῶς Axt.

430. ἠέ τι Gr. et LH. ἢ ἔτι Dorvill. p. 315. ἐφεζομ. Gr. ἐφεζ. LH. et sic Gron. (in aonott.) et Dorvill. l. l. — πιναρῇσιν Gr. et LH. πιναροῖσιν. Dorvill. l. l. στεγέεσσι Gr. et LH. τεγέεσσι Dorvill. ibid.

432. παιδίης Gr. et LH. παιδείης Holst. t. Mrg. et sic Dorvill. p. 638. Idem mavult πολλούς. ibid.

433. ἐσσομένους Dorvill. p. 648. ποίησε βίους Gr. et LH. ποιεῖ δὲ βίῳ Axt. μάλα παναγήτους Gr. et LH. βίους λαοῖς παναγ. Dorvill. ibid. Aliquando μάλα πᾶσιν ἀγητούς. Rigler. Nunc reposuimus μάλα τοι. Itaque totum placuit scribi: ἐζομένους ποιεῖ δὲ βίῳ μάλα πᾶσιν ἀγητοὺς ἀνέρ.

434. Hic versus uncis inclusus est in LH. μάλα δὲ δμωάσιν ἀνάσσων Gr. μάλα δ' ἠώιεισιν Mscr. t. Gr. μάλα δ' ἠώαισσιν (sed diphtong. αι lineola transfixa est) LH. ἠώεσσιν Holst t. Mrg. Equidem soni. μάλ' ἐν ἠῴησιν aut μάλα δ' ἠῴησιν ἀνάσσων (sc. γενέθλαις) denique: ἀλλ' ἠῴησιν ἀνάσσων Rigl. ἀνέρας ἀφνειοὺς μάλ', ἰδὲ δμώεσσιν ἀνάσσειν. Dorvill. p. 335.

435. πρῆξιν δ' Gr. et LH. πρ. θ' Rigl. ἐμ πρήξεσιν ὑπ' ἄλλοις Gr. et LH. „ἐν πρήξεσιν Holst.“ Mrg. καὶ ἐν πρήξει σίνος ἄλλοις vel ἄλλο Dorvill. p. 334. Ego ali. quando ἐν πρήξεσσιν ἀτόλμους. Rigl. πρῆξιν δ' ἣν τιν' ἕλωνται, ὑποπτήσσουσιν ὑπ' ἄλλοις. Axt.

437. ἴσα Gr. ἶσα LH.

438. δὶ σὺν αὐτοῖσιν Gr. et LH. δ' οἷον τοῖσιν Rigl. Equidem posthac malui scribi: μήνη δ' ὡς αὐτοῖσιν Axt.

439. δισσαῖσιν Gr. et LH.

440. μογερὸν Gr. et LH. Fortasse μογεροῖς. Rigl. καὶ νῦν ἐνέπ. Gr. et LH. δὴ νῦν Axt.

441. „ἀπερχόμενοι Mscr.“ Mrg.

442. αὐγαῖς αὐξομένη: haec verba parenthesis nota inclusa sunt in LH. δεινοὺς LH. „δ' αἰνοὺς Mscr.“ Mrg.

443. „ἠδ' Mscr.“ Mrg. νούσους Mscr. t. Gr. et Mrg. ἢ νούσους aut ἠδὲ νόσους Dorvill. p. 618.

αὐτοὺς δ' ἀπροκόπους καὶ δειμαλέους περὶ πρῆξιν
ἐνσινέας τε τίθησιν ἀποῤῥείουσα δὲ τούτου,
ἢν μὲν Ζηνὶ συνάπτῃ, ἢ ἀβροκόμῳ Κυθερείῃ,
ἐσθλὴ καὶ δώτειρα βίου πλούτοιό τε πολλοῦ·
πυροφόρων δ' ἀγρῶν κτῆσιν κρατερῶν τε θεμέθλων
δῶκεν, καὶ κῦδος φήμην τ' ἀγαθὴν παρὰ δήμοις,
καὶ φιλίην ἀνδρῶν, ἧσπερ χρῄζουσιν, ἑταίρων·
ἢν δ' Ἑρμῇ, πινυτούς τε καὶ ἔμφρονας ἐξετέλεσσεν·
ἢν δὲ Κρόνον προλιποῦσα κενὸν δρόμον ἐξανύῃσιν,
ἢ καὶ Ἄρῃ μετέπειτα συνάπτῃ, πάγχυ κακίστη·
αὐχμηροὺς τεύχει γὰρ ἀναγκαίου βιότοιο,
οἵ τ' ἔργοισιν ἑοῖς καμάτοισί τε μοχθίζοντες
οὔποτε λιμηρὴν πενίην γε δύνανθ' ὑπαλύξαι·
πρὸς δ' ἔτι καὶ ζωῆς τέκμωρ λυγρὸν ἐξανύοντας·
πολλάκι δ' ὠκυμόρους τε καὶ ἐν νεότητι θανόντας·
οἱ δὲ καὶ εὐτροχάλοις δειρὴν σφίγγουσι βρόχοισιν·
ἢν δ' ἀπὸ μὲν Κυθέρης ἢ καὶ Ζηνὸς πολυφεγγοῦς
ἢ καὶ ἀφ' Ἑρμείαο ἀποῤῥέῃ, ἔμπαλι δ' ἑξῆς
ἢ Κρόνῳ ἢ Πυρόεντι συνάπτῃ, δεινὴ ἐτύχθη.
οἴκων γὰρ φθείρει κτῆσιν βιότῳ προϊοῦσιν,
καὶ χαλεπὴν πενίην γήρως ἔπι λυγροῦ ὀπάζει·
φαύλη καὶ κερόεσσα συνάπτουσ' Ἄρεϊ Μήνη·

444. δειμαλίους Gr. δειμαλαίους Mscr. t. Gr. et Mrg. δειμαλέους LH. et sic Dorvill. p. 260.

445. „ἐνσίνεάς τε Mscr.“ Mrg.

446. ξηνὶ Mscr. t. Gr. ἀβροκόμῳ Gr. et LH..

448. πορφορφόρων LH. δὲ ἀγρ. Gr. et LH. ἄγρων LH.

450. ἑταῖροι Gr. et LH. „ἑταίρων“ Mrg.

451. ἑρμῆς Mscr. (t. Gr.) et LH. εὔφρονας Gr. et LH. Fortasse ἔμφρονας.

452. ἐξανίησι LH.

453. ἄρῃ LH.

454. παρ' ἀναγκαίου LH. sed in Mrg. γὰρ script.

455. οἵτ' ἐπ' Gr. et LH. οἵτ' ἀγροῖσιν ἑοῖς Dorvill. p. 648. Aliquando nobis placuit: οἵτ' ἔργοις ἐφ' ἑοῖς.

456. δύναντ' Gr. et LH. ἐδύνανθ' Dorvill. p. 648. γε δύνανθ' Rigl.

457. δέτι Gr. δ' ἔτι LH.

458. θανοῦντας Gr. (sed vertit morientes) et LH. θανόντας. Axt.

459. εὐτροχάλοις Gr. ἐν τροχάλοις Mscr. t. Gr. et sic etiam LH.

461. ἑρμείαο Gr. et LH. ἑρμάωνος Herm. ad Orph. p. 750. nec tamen alterum ferri posse negat.

464. ἐπιλυγροῦ Gr. sed in annott. ἐπὶ λυγροῦ et sic LH.

κλῆρον γάρ τε δόμων πατρώϊον ἐξαπόλεσσεν
καὶ μητρῷον ὁμοῦ, ποτὲ δ' αὖ καὶ μητέρας αὐτάς·
γεινομένους δ' αὐτοὺς μεγαληνορίαις χαίροντας,
ὀξεῖς παντόλμους τε θρασεῖς τ', ἐπὶ τοῖσι βιαίους,
ἀστεμφεῖς, ὠμοὺς καὶ ἀπηνέα ἔργα τελοῦντας·
τοὔνεκα καὶ πταίοντας ἐν ἔργμασιν, ὁππόσ' ἕλωνται·
καὶ δὲ δέσιν θνητοῖσι πόρεν κείνῳ συνιοῦσα.
ἶσα δὲ καὶ συνιούσῃ ἀποῤῥείουσ' ἀπὸ Θούρου.
εἰ δέ τ' ἀποῤῥείῃ μὲν ἀπ' Ἄρεος, εἶτα συνάπτῃ
κυδίστῳ Κρονίδῃ, πολυόλβους τῆμος ἔτευξεν
καὶ μακαριστοτάτους, πρήξεις τ' ἀγαθὰς τελέοντας·
ταῦτα δὲ καὶ Κυθέρῃ συναφὴν τεύχουσ' ἀπ' Ἄρηος
ῥέζει· πρὸς δ' Ἑρμῆν, βουλαῖς μύθοισί τ' ἀρίστους,
αἰὲν ὑπὲρ θνητοὺς πυκιναῖς πραπίδεσσι νοοῦντας·
τοῖα δὲ καὶ διάμετρος ἀεὶ πέντ' ἀστράσι τεύχει.
Ἠελίῳ δ' οἴῳ συναφὴν τεύχουσα Σελήνη
ἔκπτωσίν τε τίθησι βίου, καὶ κήδε' ὀπάζει·
ἣν δ' ἀποχαζομένη Ὑπερίονος εὐθὺ συνάπτῃ
ἐσθλοδόταις, ἀγαθὴ καὶ ὑπείροχα ἔργα φέρουσα
μείζονα καί τ' ἀρίδηλ' ἀγάθ' ἀνθρώποις ἀνέφηνεν·
αἰεὶ δ' ἐν γενέθλῃσι κενοδρομέουσα Σελήνη
πλαζομένους βιότῳ καὶ ἄλην ξείνης ἐπὶ γαίης
ῥέζει, λιτοτέρους τε βίῳ καὶ πολλὰ μογεῦντας.
Χρὴ δ' αἰεὶ γενέθλαις πρότερον νεοφεγγέα Μήνην

466. *κλήρων* Macr. et LH. „lego *δόμον*" Mrg.
467. *ἄν* LH.
468. *μεγαληνορίαισι* LH. et Macr. t. Gr. (in annott.)
471. *ἔργμασιν* Gr. *ἔργμασι* LH.
472. *καὶ δέσιν* Gr. et LH. *καὶ δῆριν* vel *καί τε δέσιν* Dorvill. p. 541. *δὲ* Axt. *κεινῷ* Gr. *κείνῳ* LH.
473. *ἶσα — συνιοῦσα* Gr. et LH. *ἶσα — συνιούσῃ* Dorvill. ibid.
474. *ἄρεως* LH.
476. „*ταύτα*" Mrg.
477. *κυθέρη* Gr. et LH. *κυθέρῃ* Rigl. *ἀπ'* Gr. et LH. *ἐπ'* Dorvill. l. l.
479. „*πυκυναῖς* Holst." Mrg.
480. *αἰεὶ* Macr. t. Gr. et LH.
483. „*ἀποχαζόμενοι* script." Mrg. *εὐθὺς* Macr. t. Gr. et Mrg.
485. *ἀγαθὰ* Gr. et LH.
487. *καὶ ἄλλην* Gr. et LH. „f. *κατ' ἄλην*" Mrg. *ἄλην* etiam Gron. (in annott.)
488. *λειτοτέρους* Gr. et LH. „*λιτοτ.*" Mrg.
489. „scr. *γενέθλης*" Mrg.

καὶ δ' ἔτι πληροσέληνον ἐνὶ πραπίδεσσιν ὁρᾶσθαι,
ὅππη τάσδε δύω φάσιας παρεοῦσα τέλεσσεν·
ἤ τοι συντροχάουσα, πρὸς ἐσθλοδόταις μὲν ἀρίστη
πρώτως ἀκτῖνας ξυνουμένη ἠέ τε πλήρης·
σὺν χαλεποῖσι δ' ἐοῦσα πανεικέλιον μένος ἴσχει
κείνοισιν, λυγροῦ τε βίου πλήρωσε γενέθλην·
Ἔξοχα δ' οὖν κακὰ πάντοτ' ἐπὶ θνητοῖσι κυλίνδει
ἐν φάσεσιν πάσῃσιν, ἐν αἷς Πυρόεντι συνάψῃ·
κῆν ἐπὶ συνδέσμου βαίνῃ, μανίῃσι προσάπτει,
ἢ σπασμοὺς νοῦσόν θ' ἱερὴν καὶ ἀναλθέας ἄτας·
Ἄντα δ' ἄρ' Ἠελίου χαίρει τροχάουσα Σελήνη,
κύκλῳ ἐπὶ πλήρει, τότ' ἀγάλλεται αὐγάζουσα,
καί τε κλέους ὄλβου τε παραιτίη ἐστὶ βροτοῖσιν.

492. ἤτοι Gr. et LH. συντροχάουσ' ἐπεὶ ἐσθλοδόταις μὲν, — Gr. et LH. Malim συντροχάουσ', ἐπί γ'. Axt.
493. πρώτως Gr. et LH. Nonne πρώτας?
496. θνητοῖσιν Mscr. (t. Gr.) et LH.
497. „πάσαισιν Holst." Mrg.
498. „βαίνει Holst." Mrg. μανίαισι Gr. et LH. Fortasse μανίῃν τε προσάπτει Rigler.
499. ἢ σπασμ. Gr. et LH. Olim conieci καὶ Axt.
501. πλήρει ἐπὶ κύκλῳ Gr. et LH. κ. ἐπὶ πλήρει Rigl. „παραίτιος" Mrg.

ΜΑΝΕΘΩΝΟΣ

ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΩΝ

ΒΙΒΛΙΟΝ Γ.

Ὅσσα μὲν ἀλλήλων οἴκοις τελέουσι βροτοῖσιν
ἀστέρες Ἠελίῳ τε πυριπλήθοντι συνόντες,
ὁππόσα καὶ κεραῆς συναφαῖς τεύχουσι Σελήνης,
ἐν προτέραις σελίδεσσι μάλ' ἀτρεκέως κατέλεξα·
νῦν δ' ἐπιμαρτυρίας αὐτῶν καὶ σχήματα πάντα,
ἀλλήλων θ' ὅσα δρῶσιν ὑπ' ἀκτίνεσσιν ἐόντες,
καὶ κέντροις πισύρεσσιν ἐπεμβεβαῶτες, ἀείσω.
Πρῶτα μὲν οὖν Φαίνων ὑπὲρ ὡρονόμοιο βεβηκὼς
ἤτοι πρωτοτόκους καὶ πρωτοτρόφους ἀνέφηνεν,
ἢ καὶ ἀδελφειοὺς προτέρους διώλεσσεν ἅπαντας·

In Gronoviano exemplo haec argumenti expositio praefixa est. *ἐν τῷ ('ντῳ Gr.) γ' βιβλίῳ φησίν. ά. Τί ἀποτελεῖ ἕκαστος τῶν ἑπτὰ πλανητῶν ὡρονομῶν ἐν ἰδίῳ οἴκῳ καὶ ἐν ἄλλῳ τινὶ τῶν τριῶν κέντρων μόνος εὑρισκόμενος ἐν ἰδίῳ μέντοι οἴκῳ. β'. Τί ἀποτελεῖ, ἡνίκα ἑνὸς ὡρονομοῦντος ἕτερος ἐπὶ τοῦ δυτικοῦ κέντρου μόνος θεωροῖτο, καὶ τὸ (πότε?) τῶν ἀνθρώπων ἀποτέλεσμα (ἴσματα) ἀπαλλάκτως εὑρίσκομεν ὄντα, κἂν ἐπὶ τοῦ μεσουρανήματος καὶ ἀντιμεσουρανήματος* (sic Dorvill. p. 649. *ἀντὶ μεσ.* Gr.) *εὑρεθῶσιν, ἑαυτοὺς ἀναμετροῦντες* (sic Gron. correxit pro *οὖν μετροῦντες*.) *εἷς μὲν ἄνω, εἷς δὲ κάτω ὤν. γ'. Τί ἀποτελοῦσιν οἱ συμμαρτυροῦντες ἀλλήλοις, ἢ καὶ συσχηματιζόμενοι, ἢ καὶ ἐπιβλέποντες ἑαυτούς. δ'. Τί ἀποτελεῖται Ἄρεως καὶ Σελήνης ἑαυτοῖς συσχηματιζομένων, τοῦ μὲν ἐν ἀρσενικοῖς προσφόρως τῇ οἰκείᾳ φύσει, τῆς δὲ ἐν ζῴοις θήλεσιν εὑρισκομένης, ἢ τὸ ἀνάπαλιν, ἢ καὶ ἀμφοτέρων ἐν ἄῤῥεσιν, ἢ καὶ ἀμφοτέρων ἐν θήλεσιν, καὶ τί μὲν ἐπὶ ἀνδρὸς, τί δὲ ἐπὶ γυναικὸς ταῦτα ἀποτελεῖ. έ. Περὶ χρόνων ζωῆς, καὶ πῶς μὲν τούτους ἐφοδευτέον δι' ἡμέρας, πῶς δὲ νυκτός· καὶ πότε μὲν ἀπὸ τῶνδε, πότε δὲ ἀφ' ἑτέρων τούτους παραληπτέον.*

Vers 5. *'ἐπὶ μαρτ.* Mscr. al. *ὀχημ.*" Mrg.

7. *πισύροισιν* Gr. (vertit *validis*) et LH. Ego correxi *πισύρεσσιν*. Rigler.

9. *ἢ* Gr. et LH. Ego *καὶ* reposui Axt.

10. *διώλεσε πάντας* Gr. et LH. *διόλεσσεν ἅπαντας* Dorvill. p. 219.

τέκνων δ' αὖτ' ὀλετὴρ πέλεται, βίοτόν τε χαλέπτει
ἀλλοτρίοις οἴκοισιν ἐών· εὖτ' ἂν δ' ἐν ἑοῖσιν
ὡρονομῇ, ζῴοις δ' ἰδίοις ἐπιτέρπεται αἰεὶ
Αἰγόκερῳ τε καὶ Ὑδροχόῳ βλοσυρῷ τε Λέοντι
καὶ Χηλαῖς Κριῷ τε, τότ' ἀνέρες ἐξεγένοντο
κύδιστοι, γενεῇ τε γεγηθότες, εὐκλέϊ πλούτῳ
τιμαῖς καὶ γεράεσσιν ἀγαλλόμενοι βασιλήων·
ψυχρὸν δ' εἰς λίβα νισσόμενος δῦνον περὶ κέντρον,
μακροβίους γήρᾳ λιπαρῷ θαλέθοντας ἔθηκεν,
εὐκτεάνους, μόχθοισιν ἰαινομένους σφετέροισιν·
εἰ δὲ μεσουρανέοι, πατρῷϊα πάντ' ἐκέδασσεν,
δηθάκι δ' οὐδ' ὅσσον κλήρου παρὰ πατρὸς ἔνειμεν·
πρήξεις δ' ἀπροκόπους καὶ νωχελέας μάλα τεύχει·
ἔργα δὲ καὶ τέχνας χειρῶν ἐξαίνυται ἀνδρῶν
ψυχῶν θ', ἥντινα πρῆξιν ἐνὶ στέρνοισιν ἔλωνται·
δυστεκνίην δ' ὤπασσε, κασιγνήτων τ' ἀπάμερσεν·
ὀρφανίην δ' ὑπόγειος ἐὼν ἀπὸ πατρὸς ἔτευξεν
πάμπαν νηπιάχοις, κλῆρόν τ' ἐῤῥαισσεν ἄϊστως,
ὃν θνήσκων ἔλιπεν γενέτης. αὐτοὶ δ' ὑπὸ νούσου
κάμνουσ', ἔν τε κρύει πυρετῷ τ' αἴθωνι μογεῦσιν·

11. „αὐτ' ὀλ. Mscr.“ Mrg.

12. ἐστ' ἂν δ' ἐν Gr. „εὖτ' ἂν δὲν Mscr.“ Mrg. εὖτ' ἂν δ' ἐν LH.

13. ζωίοις Gr. ζώιοις LH. ἔδ' post ζώοις adiecl. Axt. Voces ἐπιτέρπεται — ἀπότ' (v. 15) in LH. uncis inclusae „Nota ( ) in Mscr. non erat“ Mrg.

14. „Hic versus sic ·⁝X⁝· in Mscr. notatus“ Mrg. τελέοντι Gr. τε λέοντι LH. et sic Dorvill. p. 334.

15. „χῆλαι Mscr. fort. scribend. κριῷ τέ ποτ'“ Mrg. κριῷ τε, τότ'. Rigler.

16. γενεῇ τε, γεγ. sic distinct. apud Dorvill. p. 334.

18. νεισόμενος Gr. λίβαν εἰσομένους Mscr. t. Gr. et Mrg. δύνων Gr. et LH. δῦνον LH.

22. ἔνημεν Mscr.' Gr. et LH. ἔνειμεν corr. Dorvill. p. 647.

25. ἔλωται LH. „ψυχῶν δ' Holst. ἥν τε script.“ Mrg.

27. ἀπὸ πρὸ Mscr. t. Gr.

28. ἐῤῥαισσεν Gr. et LH. ἐῤῥαισεν Dorvill. p. 648. — Ceterum ἔτευξεν πάμπαν νηπιάχοις κλῆρόν τ' Gr. distinxit: at LH. ἔτευξεν πάμπαν νηπιάχοις, κλῆρ.

24. λίπεν Gr. et LH. ἔλιπεν Dorvill. p. 648. γενετῆρ Gron. sed in corrig. γενέτης et sic LH. αὐτὸς Gr. αὐτοὶ LH. αὐταὶ etiam coni. Gr. (in annott.). Idem tamen ibidem proposuit etiam αὐτός — κάμνων.

30. κρύϊ Gr. et script. t. Mrg. κρύει LH. et Dorvill. p. 648. μόγευσιν Gr. et Mscr. t. Mrg. μογεῦσιν et μόγευσαν Gr. (in annott.) μογοῦσιν LH.

ἐν δ' ἀγορῇ κρίσιας καὶ νείκεα δηρὸν ὄπασσεν.
Ζεὺς δ' ὥρην ἐφέπων ἐρικυδέας ἄνδρας ἔθηκεν,
ἐν δήμοις πάτρησιν ὑπὸ σφετέρῃσιν ἀγητούς.
πρὸς δ' ἔτι καὶ πρήξεις μεγαλαυχέας, ἐν βιότῳ τε
ἀφνειούς, βασιλεῦσι φίλους, μάλα τιμήεντας·
ταῦτα δέ τ' ἐκτελέσει μέσον οὐρανὸν ἀμφιπολεύων·
κοσμεῖ καὶ μίτρῃσι πέπλοισί τε πορφυρέοισιν,
τερπωλῆς τεύχων λαῶν ἡγήτορας ἄνδρας·
δύνων δ' εὐκτεάνους, ὀλοὸς δὲ τέκνοισιν ἐτύχθη·
θάπτει γὰρ κεδνάς τ' ἀλόχους παῖδάς τ' ἀλεγεινούς·
ἐν τροπικοῖς δ' εἴωθε τελεῖν καὶ πάμπαν ἀτέκνους
κηδεστὰς βιότου, καί τ' ἐσθλὰ κακοῖσιν ἔμιξεν·
κτῆσιν μὲν γὰρ ἔδωκε, τέκνων δ' ἐπὶ κήδεσι λυπεῖ.
δεινὸς δ' ἀντιμεσουρανέων πέλετ' ἀνθρώποισιν·
πάντων γάρ τε βροτοὺς ἰδίων κτεάνων ἀπάμερσεν,
εὐόλβους δὲ πάρος κενεοὺς οἴκους ἀπέφηνεν·
ἔξοχα δ' εἴ γε σὺν Ἡελίῳ τόδε κέντρον ὁδεύοι·
ἐσχατίῃ γενέθλῃ βίοτον καί κῦδος ὀπάζει.
Ἄρης δ' ἀντολίηθεν ἀνεοχόμενος μεγατόλμους,
θαρσαλέους ῥέζει, ποτὲ δ' αὖ πραπίσιν μάλα δεινούς·
δύνων δ' αὖτ' ἄλγεσσι βροτοὺς ἄταις τε προσάπτει,
σύλησέν τ' ὄλβον, βιότου τ' ἀνέφην' ἐπιδευεῖς·
ἐν δ' ἄρ' ὑποχθονίῳ κέντρῳ σύνεσίν τε χαλέπτει,
αἰεί τ' ἐν θορύβοισι καὶ ἐν σινέεσσι τίθησιν,
τραύματα δ' αἰεὶ δῶκεν, ἰδὲ σπασμοῖς καταρίπτει,

31. *νίκεα* Gr. et Mscr. t. Mrg. *νείκεα* LH. — „*ὕπασσεν* Mscr.“ Mrg.

33. *πατρῇσιν* Gr. et LH. *πάτρῃσιν* Dorvill. p. 649. Idem „nescio, inquit, quomodo hic blanditur *πραπίδεσσιν ἔπι*“ ibidem.

34. *δέ τι* Gr. *δ' ἔτι* LH.

36. *ταύτὰ* LH. „*ταῦτα* script.“ Mrg. *δ' ἔτ'* LH.

39. *εὐκτεάνους* Gr. et LH. *ἀκτεάνους* Dorvill. p. 227.

41. *τροπικοῖσι* Gr. et LH. „*τροπικοῖς* scr.“ Mrg. et sic Dorvill. p. 315 et 649.

42. *κηδεστὰς* Gr. et Mscr. t. Mrg. *κηδευτὰς* LH. *κηδεστῶν* Dorvill. ibid.

48. Fortasse *ἠματίῃ γενέθλῃ*. Axt.

50. *θαρσαλέους ῥέζει* Gr. (sed vertit *et promtos*) et LH. Fortasse commate post *μεγατόλμ.* deleto *ῥέζει, θαρσαλέους, ποτὲ δ'*. Rigl.

54. *δ'* Gr. et sic Mscr. t. Gr. *τ'* LH.

55. *καταριπτεῖ* scribi maluit Dorv. p. 649.

κινδύνους τ' ἐπάγει θαμέας, βιότοιό τ' ἀμέρδει
αὐχμηρούς, τέκνων τε γονῆς ἢ πάμπαν ἄμερσεν,
ἢ ἕνα τηλύγετον πατρὶ ἐν μεγάροισιν ἔδωκεν·
δεινὸς δ' ἀμφὶ γάμους· ἢ γὰρ θαμὰ λέκτρα διείργει,
ἢ λώβην τιν' ἀεικελίην ἀκάχησε γυναῖκας·
ὕψι δ' ἐπεμβεβαὼς μέσον οὐρανὸν ἄλλοτε μέν τε
τέχνας δῶκε βροτοῖσι βαναύσους, ἔργα βίοιο·
ὁππότε δ' εὐεργῶν ἐπιμαρτυρίῃσι σὺν ἄστρων
δέρκηт', ἡγεμόνας θῆκεν φρουρούς τε τυράννων,
καὶ θηκτὸν φορέοντας ἑὸν περὶ σῶμα σίδηρον,
ἐν πόλεσιν δήμοισί τ' ἀριπρεπέας πολιούχους.
ἐξαπίνης δ' ἔσφηλεν ἐς οὐρανὸν αἰπὺν ἀείρας
δειλαίους φῶτας ποτὶ Τάρταρον ἠερόεντα·
ἤτοι γὰρ φυγάδας φιλίης ἐξήλασε πάτρης,
ἢ ζωῆς ἀπάμερσε βίῃ κρυόεντι σιδήρῳ,
ἢ πόμα φαρμακόεν πιέειν κατένευσεν ἐν οἴκοις.
Ὡρονομοῦσα δ' ἀεὶ Κυθέρη καλοὺς μὲν ἰδέσθαι
ῥέζει, καὶ χαρίεντας ἰδ' ἱμερόεντας ἔπεσσιν,
ἀφνειοὺς βιότῳ καί ἀγακλέας ᾗ ἐνὶ πάτρῃ·
κυδαίνει δὲ τεκοῦσαν, ἄγαν τ' ἀρίδηλον ἔθηκεν·
καὶ δὲ μεσουρανέουσα τάδ' ἔρδει, πρὸς δὲ καὶ ἔργοις
τρισμάκαρας τεύχει, ταῖς δ' αὐτ' ἀλόχοις γάμον ἐσθλὸν
ὤπασεν, ἐν δὲ δόμοις κείνων βίον ἤεξησεν·
καὶ δὲ γυναικείοισιν ἐπ' ἔργοις δηθάκις ἄνδρας
ἵδρυσ', ἐξ ὧν χρήματ' ἐπὶ κτῆσιν πόρεν ὄλβον·

57. καὶ πάμπ. LH.

58. πάτρ' ἐνὶμ Gr. πάτρ' ἐνὶ LH. ἕνι Mscr. t. Mrg. Fortasse πατρὸς ἐν. Rigl. Ego πτρ ἐνὶ suspicatus sum. Axt. Reposuimus denique πατρὶ ἐν.

59. θ' ἅμα Gr. „θάμα script. θ' ἆμα Holst. et sic Mscr. t. Mrg. θαμὰ LH. et Dorvill. p. 334.

61. ὕψει δ' ἐμβεβαώς Gr. (sed expressit *alte*) et LH. Nos coniecimus: ὕψι δ' ἐπεμβεβαὼς vel ὑψοῦ δ' ἐμβ.—μέν τε Gr. et LH. μέν τοι Dorvill. p. 619. „οὐρανον script.“ Mrg.

63. ὅπποτε Gr. ὁππότε LH. συναστρῶν Gr. et Mscr. t. Mrg. σὺν ἄστρων LH. et sic Gr. (in annott.) Nonne ὑπ' ἄστρων? Axt.

66. πόλεσι Gr. πόλεσιν LH.

68. δειλαιοὺς script. t. Mrg.

74. ἢ Gr. ᾖ LH. et sic Dorvill. p. 329.

77. Fortasse: τοῖς δ' αὖτ' ἀλόχων.

79. δηθά κις Gr. δηθάκις LH.

80. ἵδρυσε τῶν καὶ χρήμ. Gr. ἵδρυσεν LH. „fort. τοῖς“ Mrg. Nonne ἵδρυσεν καὶ χρήματ', aut ἵδρυσ', ἐξ ὧν χρήματ'. Axt.

ἀστασίας δ' ὑπόγειος ἐοῦσα λεχέων ἐτέλεσσεν,
καὶ δὲ γάμων ταραχὰς καὶ χηροσύνας, ποτὲ μέν τοι
ἐν ξείνῃ ποσίων ποτὲ δ' αὖ μεγάροισιν ἐόντων·
καὶ δ' ἔτι καὶ δύνουσα κακῇ περὶ λέκτρα γυναικῶν·
ἢ γὰρ ἀποζεύγνυσι συνεύνων, ἢ πολυκοίνους
δῶκ' ἀλόχους, ὧν δὴ θάμ' ἐπασχάλλουσιν ἐφ' ὕβρει·
καὶ δ' αὐτοὺς φήμῃσι κακαῖς νεότητος ἐν ὥραις
ἀμφέβαλεν, μάχλους τ' ἐς ἀεικέα θήκατο Κύπριν,
ἀλλοτρίων τε μέλαθρον ὀπιπεύουσι γυναικῶν.
Ἑρμῆς δ' ἀντέλλων μὲν ἐφ' ὥρης εὐκλέας ἄνδρας
καὶ πολλῆς σοφίης ἐπιΐστορας ἐξετέλεσσεν·
πολλάκι καὶ προδαῆναι ἐπὶ πραπίδεσσι βροτοῖσιν
πείρατα μελλόντων δωρήσατο, καί θ' ἑτέροισιν
θεσπίζειν φήμῃσιν ὀνείρασί θ', ἃ σφίσιν αὐτοὶ
ὀρφναίην κατὰ νύκτα βαθὺ κνώσσοντες ἴδωνται.
ἐν δὲ μεσουρανίῳ θνητοῖς ἔργ' ὤπασε κέντρῳ·
ἤτοι γὰρ σοφίης βίοτον καλάμοιό τε γραπτῶν
πρῆξιν ἔδωκ', ἢ παισὶν ὑφηγητῆρας ἔφηνεν
παιδείης, τοὺς δ' αὖτε τραπέζης ἀργυραμοιβοὺς
εἷσεν ὕπερ, πολέσιν δὲ τέχνας ἡρμόσσατο χειρός·
ἣν δ' ὑπόγειος ἐῇ, πινυτὸν νοὸν ἐξετέλεσσεν,
θῆκεν καὶ σοφίην δεδαηκότας, ἐν βιότῳ τε
αἰὲν ὑπ' ἀλλήκτῃσι μεληδόσι μητιόωντας.

81. *ἐὰν λεχέων* Gr. et LH. *ἐοῦσα λέχους* vel *λέχευς* Dorvill. p. 640.

82. *καί τε* LH. *καὶ δὲ* scr. t. Mrg. *δ' ὅτε* Gr. et LH. „*ὅτὲ* scr." Mrg.

83. „Fort. *ἐν ξείν' ἢ προϊὼν — ἐοῖς ὤν.*" Mrg.

85. *πολὺ κοίνους* Macr. t. Gr. et sic script. t. Mrg.

86. *δῆθ' ἅμ'* Gr. *δῆθ' ἅμ'* LH. *δὴ θάμ'* Dorvill. p. 334.

88. *ἀμφέβαλε* Gr. *ἀμφέβαλεν* LH. et Dorvill. p. 649. — *μαχλούς τ'* Gr. *μάχλους τε* LH. „script. erat *μαχλοὺς* at in margine *μαχλος* (sic) *βαρύνεταί ἃ μονογενὲς θηλυκόν*" Mrg.

89. *μέλαθρ'* Gr. et LH. „fort. *μέλαθρα ὀπιπεῖ.*" Mrg. *μέλαθρον* Dorvill. p. 649.

93. *καὶ δ'* Gr. et sic script. Mrg. *καί θ'* LH.

94. *ὀνείρασι τ' ἃ* Macr. t. Gr. — *θεσπίζει* Gr. et LH. *θεσπίζειν* Dorvill. p. 649. *φήμαισιν* Gr. et LH.

96. „script. *ἔργ'*" Mrg.

99. *παιδίης* Macr. et Gr. *παιδείης* LH. *αὖ τε* Gr. *αὖτε* LH.

100. *εἷσεν, ὑπὲρ* Gr. et sic script. t. Mrg. *εἷσεν ὕπερ* et quidem distinctione posita post *ὕπερ* LH. — *πόλεσι* Gr. *πόλεσιν* LH.

102. „scribendum *δὲ*" Mrg.

103. *ἀλληκτῆσι* Gr. et LH.

δύνων δ' ἐν μύθοισι καὶ ἐν πραπίδεσσιν ἀρίστους,
καὶ πλούτῳ γηθεῦντας ἀεὶ φήμαις τ' ἀγαθῇσιν.
εὖτ' ἂν δ' ὠκεανοῖο λελουμένος ἀντέλλῃσιν
Τιτάν, ἐν δ' ὥρῃ κείνῃ βροτὸς ἐς φάος ἔλθῃ,
πατρὸς ἀριγνώτου γεγαὼς τότε φύσεται ἀνήρ,
τιμήεις δέ τ' ἄγαν καὶ ὑπείροχός ἐστ' ἐνὶ πάτρῃ,
πλούτῳ καὶ κτεάτεσσιν ὑπέρτατος ἐν μερόπεσσιν·
πολλάκι καὶ βασιλῆες ἐν ὥρῃ τῇδ' ἐγένοντο·
δύνων δ' Ἥλιος λαμπροὺς βιότῳ καὶ ἐπόλβους
τεύχει, καὶ πραπίδων μάλ' ἀριφραδέων ἐνὶ πάτρῃ.
Τιτὰν δ' ἐν γενέθλῃ μέσον οὐρανὸν ἀμφιπολεύων,
ἣν μὲν ὑπ' ἀκτίνεσσ' ἀγαθῶν καὶ μαρτυρίῃσιν
κοσμῆται, μεγάλους τε καὶ εὐκλέα ἔργα τελοῦντας·
φαύλῃσιν δ' αὐγαῖς ὀλοῶν βεβολημένος ἄστρων
ἀκτεάνους τεύχει, λυγραῖς πενίῃσι μογεῦντας·
ἣν δ' ὑπόγειον ἔχῃ κέντρον, μινύθει πατρὸς ὄλβον.
Καὶ δὲ Σεληναίη ὑπὲρ ὡρονόμοιο βεβῶσα
μητέρα κυδαίνει· δύνουσα δὲ τῆλοθι πάτρης
ἀλλοτρίην κατὰ γαῖαν ἀλωομένους θαμὰ πλάζει·
ἐν δὲ μεσουρανίῳ νυκτὸς μὲν ἀρίστη ἐτύχθη·
ἤματι δ' αὖθ' ἧσσων· ἣν δ' ἐσθλοδόται μὲν ὁρῷεν,
εὐκλείην πράξεις τ' ἀγαθὰς μερόπων ἐτέλεσσεν·
ἐν δ' ἄρ' ὑποχθονίῳ κέντρῳ ἀγαθοὺς μὲν ὁρῶσα
ἀστέρας, ἐσθλὴ ἔφυ δώτειρά τε κευθομένοιο
πλούτου· ἀτὰρ χαλεποὺς ἐπιμάρτυρας εὖτ' ἂν ἴδῃσιν,
κρυπταδίοισι σίνεσσι καὶ ἄλγεσι φῶτα χαλέπτει·

105. γηθεύοντας Gr. et LH. γηθεῦντας vel γήθοντας Dorvill. p. 481 et 496.

106. ἔστ' ἂν Gr. εὖτ' ἂν LH. et sic Dorvill. p. 334.

107. „Scribendum ἐν θ' ὥρῃ" Mrg.

109. τιμήεις Mscr. t. Gr. δ' ἔτ' LH.

116. εὔκλεα Gr. et Mscr. t. Mrg. εὔκλεά (sic) LH.

118. λυγρῇς Gr. et LH.

120. „fort. ἡ δὲ" Mrg.

122. ἀλοωμ. LH. θ' ἅμα Gr. ex Mscr. θαμὰ LH. et sic Gren. in annot. ad v. 143. atque Dorvill. p. 334.

124. ἠματίη δ' αὖτ' Gr. „αὖτ' script." Mrg. αὖθ' LH. ἤματι δ' αὖθ' vel ἠματίη δ' deleto αὖθ'. Dorvill. p. 649. „fort. ἧσσον sc. ἀγαθή" Mrg. — ἣν Gr. et LH. μὲν Gr. et sic script. t. Mrg. μεν LH.

128. ἔστ' ἂν Gr. εὖτ' ἂν LH. et Dorvill. p. 334.

πολλάκι καὶ πτώσεις ὀρόφων κατὰ κρατὸς ἀφῆκεν.
Μοῦνοι μὲν κέντροισι τάδ' ἐμβεβαῶτες ἔφηναν,
ἀλλήλους δ' ὁρόωντες ὕπερ κέντρων κατέναντα,
ὡρονόμου μὲν ὕπερ Φαίνων, Φαέθων δέ τε δύνων,
ὁπλοτέροισι κασιγνήτοις θάνατον τελέουσιν·
πρὸς δ' ἔτι γεινομένοισι χρόνους νεότητος ἀνιγρούς,
ὑστάτιον δὲ χρόνον λιπαρὸν καὶ γῆρας ἐν ὄλβῳ.
Ἔμπαλι δ' ἐν τούτοις κατεναντίον ὡρονομοῦντος
Ζηνὸς καὶ πολιοῖο Κρόνου δύνοντος ἔναντα,
πρεσβυτέροις μὲν πότμος ἀδελφειοῖσι τελεῖται,
εὐδαίμων δὲ φανεὶς πρόσθεν βροτὸς ὕστατα κάμνει.
Εὖτ' ἂν δ' ἀντέλλῃ Φαίνων, Πυρόεις δέ τε δύνῃ,
πενθαλέοισιν ἑὴν ἄλοχον τύμβοισι καλύψας
χῆρον δηναιὸν κλαύσει κατὰ δώματα λέκτρον·
τήνδε δ' ἄρ' ἐν τροπικοῖς ζῴοις θαμὰ τλήσετ' ἀνήρ.
Εἰ δ' ἄρ' ἀνερχομένου Ἄρεος Φαίνων πάλι δύνῃ,
δυστυχίην μάλα γεινομένοις φαίνουσι κατ' οἶκον.
Δυνούσης Παφίης ὁπότ' ἂν Κρόνος ὡρονομήσῃ,
οὐ μόνον αἰνόγαμοι καὶ δυσκλέες εἵνεκ' ὁμεύνων,
ἀλλ' ἔτι καὶ πατέρες παίδων ἐς πάμπαν ἄπαιδες
γίγονται· στείρας γὰρ ἢ ὠμοτόκους παρακοίτις

130. *κράτος* Gr. *κρᾶτος* LH. *κρατὸς* Spitzner de v. her. p. 158.

131. *κέντροισιν* Mscr. (t. Gr.) et LH.

135. *δέτι* Gr. *δ' ἔτι* LH. — *ἀνίγρους* Gr. et Mscr. man. secund.: sed prima *ἀνίτρους* t. Gr. *ἀνιγροὺς* LH. „i. e. *ἀναροὺς*: scriptum vero *ἀνίτρους*" Mrg.

138. *ἔναντα* Gr. et sic script. t. Mrg. *ἐνάντα* LH.

139. *ἀδελφοῖσι* LH.

140. *κάμνει* Gr. et Mscr. t. Mrg. *κάμνει* LH. et sic Gronov. (in annott.)

141. *ἐντ' ἂν* Gr. *εὖτ' ἄν* LH. et sic Dorvill. p. 334.

142. *πενθαλέοις* Mscr. t. Gron. (in annott.)

143. *χῆρον δὴ βαιὸν* Gr. *χῆρον δημαιὸν* Mscr. t. Gr. *χ. δηναιὸν* LH. et ita Dorvill. p. 334 et 670.

144. *τήνδε γὰρ ἐν* Gr. et LH. Ego *τήνδ' ἄρ' ἐνὶ* Rigl. *τήνδε δ' ἄρ' ἐν.* Axt. *θ' ἅμα* Gr. et Mscr. *θαμὰ* LH. et sic Gron. (in annott.) atque Dorvill. p. 334.

145. *ἄρεως* Gr. et LH.

148. *δυσκλεὶς* Gr. et sic script. t. Mrg. *δύσκλεες* — *εἵνεκα* LH.

149. *ἢ πάμπαν* Gr. et LH. Ego *ἐς* coni Rigl.

150. *γίνονται* Gr. et LH.

ἐς θαλάμους εἴρυσσαν, ἴδ' αἴσχεα πολλὰ τελούσας·
εἰ δὲ καὶ ἐν τροπικοῖσιν ἔοι ζώοις κατέναντα,
οὐχὶ μόνον πιναραῖς ἀλόχοις γάμον ἐζεύξαντο,
καὶ δ' αὐτοὶ πρήξεις Κυθέρης ἀγάπησαν ἀθέσμους.
Εἴκελα δ' ἀντέλλουσα πάλιν τούτοις Κυθέρεια
πρὸς δύσιν ἐρχομένοιο Κρόνου χαλεποῦ μάλ' ἐόντος,
μάχλοις πρεσβυτέραις ἢ καὶ δούλησι συνάπτει.
Εἰ δ' Ἑρμῆς δύνῃσι Κρόνου βεβαῶτος ἐφ' ὥρῃ,
πένθεα γεινομένοισι τελεῖ δειλοῖς ἐπὶ τέκνοις·
ἔμπαλι δ' εἰ Στίλβων μὲν ἀνέρχοιτ', αὐτὰρ ὁ δύνοι,
νείκεα καὶ κρίσιας γραπτῶν χάριν ἠὲ παλαιῶν
ἔργων ἴσχουσιν, θωὴν δ' ἐπὶ τοῖσιν ἔτλησαν.
Ζηνὸς δ' ὡρονομοῦντος ἐπὴν Ἄρης πάλι δύνῃ,
οὐχ ὁμαλὸν βίοτον δῶκαν, ποτὲ μὲν γὰρ ἄειραν
ὑψοῦ, κυδαλίμους τε καὶ ἀφνειοὺς μάλ' ἔθηκαν·
ἄλλοτε δ' ἔσφηλαν κτεάνων τ' ἀπὸ πάμπαν ἄμερσαν,
καὶ καμάτους βιότοιο χάριν μόχθους τ' ἐπάγουσιν·
ταῦτα δὲ κἢν δύνῃσι πάλιν Ζεὺς ὡρονομοῦντος
Ἄρεος ἐξετέλεσσεν ἐπιπλέον, οὕνεκα τῆμος
δάκρυα καὶ στοναχὰς φθιμένοις ὤπασσ' ἐπὶ τέκνοις,

151 ἢ δ' Gr. ἠδ' LH. εὖθ' Holst. ἴδ' Dorvill. p. 334 et Herm. ad Orph. p. 812.

152. εἰ δὲ καὶ ἐν. τρ. Gr. „εἴδ' καὶ ἐν τρ. script." Mrg. εἰ δε καὶ ἦν LH. εἰ δ' αὖ τρ. Dorvill. p. 649. ἐνὶ Gr. et Macr. t. Gr. (in annott. ad v. 140.) et LH. ἔνι emendavit Gr. ἔοι Axt.

154. ἀγάπης ἀναθέσμευς Gr. et LH. ἀγάπησαν ἀθέσμευς Wessel. ad Diod. V, 77. quem laodat. Dorvill. p. 335.

155. „τούτεις sc. τροπικεῖς" Mrg.

156. „Sic edidi hos does versus, etsi in Macr. positi essent inverso ordine, sed io margine id lector monebatur per literas A. B." Eodem ordine, quem a se restitutum dicit Gronevius, leguntur hi versus in LH. nec quidqoam de mutate ordine annotatum est.

157. δούλαισιν Gr. et LH. μαχλαῖς Gr. μάχλαις LH. μάχλοις. Rigl.

158. εἰ δ' Ἑρμ. δύνῃ κρ. Gr. et LH. εἰ δ' Ἑρμ. δύνῃσι κρ. Dorvill. p. 338.

160. Στίλβων περ — ἀνέρχοι τ' ἀνέρχοι αὐτὰρ LH. ὃ δύν Gr. et sic script. t. Mrg. ὁ δύνοι LH.

161. Ego pro παλαιῶν lege ματαίων. Axt.

162. „θωὴν τ' scribe" Mrg.

166. „δεσφῆλαν Mscr." Mrg.

167. ταυτὰ LH. κἢν ibid.

168. πάλιν τέλει Macr. t. Gr. [πάλιν] τελεῖ LH.: per utramque vocem lineola ducta est, sed prior vox punctis subpositis restituta.

170. „στόναχ. script." Macr. ὤπασσε LH.

καὶ δ᾽ ἀλόχοις ἥρμοσσεν ἀεικελίαις, τέκν᾽ ἀπ᾽ ἄλλων
ἤδη θρεψαμέναις, ἃ στέργουσ᾽ αὐτοὶ ἀνάγκῃ·
πάντας δ᾽ αὖτε κασιγνήτους φιλίης ἀπὸ πάτρης
ἄλλον ἐπ᾽ ἀλλοίης τηλοῦ γαίης ἐκέδασσεν·
μόχθων δ᾽ ἐς γῆρας προτέρων ἀνάπαυσιν ἔδωκεν.
Ἐκ περάτης δ᾽ ἀνιὼν Φαέθων κατέναντα Κυθήρης
εἰς δύσιν ἐρχομένης, πολυόλβους τρισμάκαράς τε
ῥέζει, καὶ μεγάλοις ἀλόχων ἥρμοσσε γάμοισιν,
ῥηϊδίαις δ᾽ ἐς Κύπριν ἰδὲ ξυναῖς φιλότησιν·
κτῆσιν δ᾽ αὖτ᾽ ἰδίην τοκέων δέ τ᾽ ἄμετρον ἔδωκεν.
Μαρμαίρουσα δ᾽ ἀπ᾽ ἀντολίης ἐρατὴ Κυθέρεια
δυνόμενόν τ᾽ ἐσορῶσα πυρίγληνον Φαέθοντα,
ὄλβον κυδήεντα καὶ εὐκλέα φῆμιν ὄπασσεν,
καὶ γάμου ἱμερόεντος ἐϋφροσύνῃσιν ἰαίνει·
τῆμος γὰρ σεμναί γ᾽ ἄλοχοι τίουσ᾽ ὁμοκοίτους.
Ἐξ ὥρης δ᾽ ἐσορῶν Ζεὺς Ἑρμείην κατέναντα
κοσμεῖ μὲν πλούτῳ μύθοισί τε καὶ σοφίῃσιν,
ἀσχολίην τ᾽ ὤπασσ᾽ ἀφένους βασιληΐου ἀμφίς,
ἢ πολίων κλήρους καὶ κτήσιας ἀμφιέποντας.

171. ἀπ᾽ ἀλλήλων Mscr. t. Gr. „ἀεικελίαισιν ἀπ᾽ ἀλλήλων Mscr.“ Mrg. ἄλλων (p. 615) et τέκνα πολλῶν (p. 225) Dorvill.

172. θρεψαμένας Gr. et sic script. t. Mrg. θρεψαμέναις LH. et sic Dorvill. p. 225. — ἀστέργουσ᾽ Gr. „ἀστέρξουσ᾽ Mscr. — νας ἃ στέρξουσι script.“ Mrg. ἃ στέρξωσι LH. ἃ στέργουσι Dorvill. p. 225 et 335.

173. „scribe φίλης“ Mrg.

174. τήλου Gr. et LH.

175. μόχθον Gr.: sed in annott. correx. μόχθων, et sic legitur in LH. ἔδωκαν Gr. (sed vertit *dedit*) et LH.

177. ἐς Gr. εἰς LH. ἀρχομένης Gr. et LH. Nos ἐρχομένης restituimus.

178. Nonne μεγάλοις ἀλόχοις? Rigl.

179. ῥηϊδίαις Gr. et sic script. t. Mrg. ῥηϊδίους LH. „ἴδε script.“ Mrg. κύπρην Mscr. t. Gr.

180. τοκέων ἄμετρον Gr. et LH. ἀμέτρητον (p. 615) vel ἀπάνευθεν (p. 649) vel ἄμετρον (p. 651) Dorvill. Ego τοκέων δέ τ᾽ ἄμετρον. Rigl.

182. δυόμενον Gr. et sic script. t. Mrg. δυνόμενον LH.

183. εὐκλεᾶ Gr. et LH. φήμην LH. et Mscr. t. Gr. et Mrg.

184. γάμον ἱμερόεντας ἐϋφρ. Gr. sed in corrigendis γάμου. — γάμου ἱμερ. εὐφρ. LH. γάμου ἱμερόεντος ἐϋφρ. Dorvill. p. 640.

185. σεμναί τ᾽ Gr. et LH. Ego γ᾽ reposui. Rigl. ἅμ᾽ ἀκοίτας Gr. et LH. ὁμοκοίτας et ὁμοκοίτους. Dorvill. p. 335.

188. ὤπασσ᾽ ἀφενός τε φρένας βασιληΐον Gr. verba τε φρένας absunt a LH. „ὤπασσ᾽ ἀφενοσσεφρένας script.“ Mrg. ὤπασσ᾽ ἀφένους βασιληΐου. Dorvill. p. 481.

Ὡς δ' αὔτως Ἑρμῆς ὥρης ὕπερ ὁλκὸν ἀμείβων
τεύχει, ἐπ' ὠκεανοῖο δύσιν Φαέθοντος ἰόντος,
εὐόλβους ἔργοις τε καὶ εὐκτεάνοισι τραπέζαις,
παίδων θ' ἡγητῆρας ἢ αὐτῶν θῆκεν ἀνάκτων.
Ὥρῃ δ' ἐμβεβαὼς Πυρόεις, δυτικῷ παρεούσης
Ἀφρογενοῦς κέντρῳ, φθορέας λέκτρων ἀνέφηνεν
ἀλλοτρίων, ἀλόχους δέ τ' ὀπιπεύσαντες ἄγονται
ἐξ εὐνῆς ἑτέρων, καὶ δ' αὐτὰς οὔτι τίουσιν,
ἀλλὰ πόθοιο κορεσσάμενοι μᾶλλον τε Κυθήρης
αὖθις ἐπ' ἄλλα μέλαθρα καὶ ἄλλας ἦλθον ὁμεύνους·
πολλάκι δ' αὐτοχερὶ σφετέρων ποσίων ἐδάμησαν·
ζώοις δ' ἐν τροπικοῖσι χερείονα τῶνδε τελοῦσιν.
Ταῦτα δὲ καὶ Παφίη τεύχει πάλιν ὡρονομοῦσα,
εὖτ' ἂν Ἄρης δύνῃ, πλέοσιν δ' ἔτι καὶ συνοχῇσιν
εἱρκτῇσίν τ' ἐπέδησε γυναικείης ἕνεκ' ἄτης·
ὅσσα δ' ἐπεκτήσαντο νέοι, τάδ' ὄλεσσαν ἅπαντα
ἐς γῆρας, πενίῃ δὲ κακῇ ἄλληκτα μογεῦσιν.
Εὖτ' ἂν δ' Ἑρμείης μὲν ἐπείγητ' ἐς δύσιν ἐλθεῖν,
ἐν δ' ὥρῃ Θοῦρος φλογὶ μαρμαίρῃ κατέναντα,
ὀξεῖς ἔν τε νόῳ καὶ μήδεσι θῆκεν ἀγητούς,
ἐσθλοὺς δ' ἐν σοφίῃσιν, ἰδὲ δρηστῆρας ἐν ἔργοις.
Ἑρμοῦ δ' ἀντέλλοντος ἐπὴν Ἄρης πάλι δύνῃ,
δεινὸν σχῆμα τέτυκται, ἐπεὶ βιότῳ μὲν ἀνίας,

190. αὔτως Gr. αὔτως LH. αὐτῶς — ὑπέρολκον Macr. t. Gr. et Mrg. ὑπὲρ Gr. et LH. Nos ὕπερ scripsimus.

192. ἔργοισί τ' καὶ — εὐκτεανοῦσι LH. „al. τράπεζης" Mrg. εὐκτεανοῖσι Gron. et sic Dorvill. p. 293.

194. δ' ἐπεμβεβαὼς Gr. et Macr. t. Mrg. δ' ἐμβεβαὼς LH. δ' delet Dorvill. p. 650.

196. δ' ἔτ' LH.

198. αὐτοὺς Gr. et LH. αὐτὰς Dorvill. l. l.

198. κορεσσάμεναι Gr. κορεσσάμενοι LH. et sic Dorvill. l. l. ἄλλους Gr. et LH. ἄλλας Dorvill. l. l.

201. ταύτα LH.

204. εἱρκτ. LH. εἱρκτῇ σύν τ' Holst.

205. ὄλλεσσαν script. t. Mrg.

206. πενίῃ τε LH. δὲ Gr. et sic script. t. Mrg.

207. εὖτ' ἂν . . . μὲν ἐπείγητ' ἐς δύσιν ἐλθεῖν Gr. (ἐπείγητ' vertit urgueat). μὲν abest a LH. ἐπειγητεύουσιν Macr. t. Gr. et sic LH. „f. ἐπείτ' ἥκει δ." Mrg. ἐπείγητ' εἰς δύσιν. Dorvill. p. 301.

212. δεινός LH.

ἐν δ' ἀγορῇ κρίσιας, θωὴν θ' ἅμα νείκεσι πολλοῖς
ἴσχουσιν γραπτῶν ἕνεκεν· Μήνην δ' ἐσορῶντες
καὶ δὲ καὶ Ἠέλιον, μερόπων τεύχουσι φονῆας,
αἰεὶ δ' ἔκπτωσιν βιότου τεύχουσι πρὸς οἴκους.
Ταῦτα δὲ καὶ δοιοῖς ἑτέροις τεύχουσιν ἐόντες
ἀστέρες ἐν κέντροισιν, ὅσ' αὐτίκα δὴ κατέλεξα.
ὅσσα δὲ καὶ βασιλῆες ἀγακλειτοὶ τελέουσιν
Ἠέλιος Μήνη τε, τάδ' αὐτίκα νῦν καταλέξω.
Ἢν ἀνίῃ περάτης Τιτάν, δύνῃ δὲ Σελήνη,
ἢ ὁ μὲν ὑψὶ μέσον τέμνῃ πόλον, ἡ δ' ὑπόγειον
κέντρον ἔχῃ, μάλα φῶτας ἀριγνώτους καὶ ἀγητοὺς
ῥέζουσιν, μεγάλους ποτὲ δ' αὖ βασιλῆας ἔτευξαν,
ἢ πάτρης προύχοντας, ἢ ἐν δήμοισιν ἀρίστους·
ὡς δὲ καὶ ἣν τάδε κέντρα μεταλλάξαντες ἐῶσιν.
Ἤδη καὶ σύγκρασιν ἀείσω μαρτυρίας τε
ἠδ' ὅσ' ἐπαντέλλοντες ἢ ἀλλήλους ὁρόωντες
ἀστέρες ἔρδουσιν· τὰ γὰρ ἀτρεκίην μάλα φαίνει·
πάντα μὲν οὖν οὐκ ἄν τις ἑῷ φράσσαιτ' ἐνὶ θυμῷ,
οὐδ' ἐνέποι· τὰ γὰρ ἄσπετ' ἀπειριτά τ' ἐστὶ κατ' αἴθρην
σχήματ' ἀμειβόντων ἄστρων πολύπλαγκτα κέλευθα·
ὅσσα δ' ἐπιλέξωσι θεοί, τάδ' ἐγὼ σάφα λέξω.

213. θωιήν τ' Mscr. t. Gr. τ' ἅμα script. t. Mrg.

214. ἐσορόωντες Gr. ἐσορῶντες LH. et sic Dorvill. p. 536 et 650.

217. ταῦτα Gr. et sic script. t. Mrg. ταὐτὰ LH. δυοῖς Gr. et LH. δοιοῖς Dorvill. p. 556.

220. τά δ' Gr. τάδ' LH.

221. ἀνίῃ Gr. et sic script. t. Mrg. ἀνῇ LH.

222. ἢὲ μὲν Gr. ἤομεν Mscr. t. Gr. ἢ ὁ μὲν LH. ἠδ' Gr. ἡ δ' LH. „ὃ μὲν — ἢ δ' ser.“ Mrg. — ὑψιμέσον Gr. et LH. ὑψι μέσον Dorvill. p. 335.

223 ἀριγνώπτους Gr. et sic script. t. Mrg. ἀριγνώτους LH. Quidni scripserit φῶτας μάλ' ἀριγνώτ.? Rigl.

224. πότε Gr. et sic script. t. Mrg. ποτὲ LH.

225. ἢ πάτρης — ἢ ἐν Gr. et LH. fortasse ἰδ' ἐν scribendum.

226. ὡς Gr. et LH. ὥς Rigl.

228. ἡ δ' Gr. ἠδ' LH.

229. ἔρδουσιν Gr. et. LH. ἀτρεκίην Gr. et sic script. t. Mrg. ἀτρεκείην LH.

230. „οὐκάν φράσσαιτ' script.“ Mrg.

231. οὐδ' ἐνίτοι Gr. οὐδ' ἂν ἔποι LH. „ἐνίτοι—ἀπείρατα τ' ἐσσὶ script. ἄπειρά τε ἐστι Mscr.“ Mrg. ἄπειρά τε Gr. ἀπείριτά τ' LH. et sic Herm. ad Orph. p. 750. ἔστι Gr. et. LH.

332. τάδε Gr. τάδ' LH.

232. ὅσσα δ' ἐπιλέξωσι Gr. et LH. ὅσσα δ' ἐμοὶ λέξ. Dorvill. p. 335.

Ζηνὶ συνὼν Κρόνος αἰπὺς ἢ εἰσορόων τετράγωνος,
ἢ ὅτε καὶ διάμετρος ἀπὸ πλευρῆς τε τριγώνου,
δωρεῖται φιλίην βασιλήϊον ἠέ γ' ἄναξιν
εἰκελίων ἀνδρῶν, αὐτοὺς δ' ἄρα φῆμιν ἀρίστην
ἴσχοντας τεύχει, κοσμεῖ δ' ὑπ' ἀπείρονι πλούτῳ,
καὶ θαλάμοις, ληΐοισι, βαθυκλήροισί τ' ἀρούραις,
λείαις, παντοίαις τ' ἀγέλαις, δμωσίν τ' ἀναρίθμοις·
δῶκε καὶ εἰναλίων κτῆσιν νηῶν πολυφόρτων,
καὶ πρήξεις ἀγαθάς, καὶ δ' αὖ μέγα κῦδος ἐπ' ἔργοις,
καὶ λιπαρὸν γῆρας μέχρις ὑστατίου θανάτοιο.
Ἀλλ' Ἄρης τετράγωνος ἢ ἀντιπέρηθεν ἀθρήσας
ψυχρότατον Κρόνον ὄντα κακὸς κακοῦ ἀντίον ἑστὼς
ἢ καὶ ὁμοῦ βαίνων, δεινὰς ἄτας γ' ἐπιβάλλει,
καὶ πενίην δυσάλυκτον ἄγει δειλοῖσι βροτοῖσιν,
ἔξοχα δ' εἰ κέντροισιν ἐπεμβεβαῶτες ὁρῷντο·
τῆμος γὰρ πτωχοὶ πανδήμιοι ἰνδάλλονται
ὀθνείῃσι θύρῃσιν ἐφεστηῶτες ἀνάγκῃ,
ἢ καὶ ἐφημερίης δαίτης χάριν αἰνὰ μογεῦντες
ἄλληκτον καμάτοισι ὀϊζυροῖς φθινύθοντες·

235. *ὅτε* Gr. et LH. Ego aliquando *ὅγε* Rigl.

236. *βασιλήϊον ἢ ἄγαν αὖξιν* Gr. *αὐξεῖν* Mscr. et LH. *ἠέ γ' ἄναξιν* Dorvill. p. 335. Ego quondam *ἢ καὶ ἄναξιν* Rigl.

237. *εἰκελίων τ' ἀνδρῶν* Gr. „*εὐκελίων* script.“ Mrg. *εὐκλειῶν τ'* LH. *τ'* post *εἰκελίων* delevit Dorvill. p. 335. — *φήμην* LH. et Mscr. t. Gr.

239. *καὶ θαλάμου, λήϊοισι* Gr. et LH. pro *λήϊοισι* vel *λῄοισι* fortasse *νειοῖσι* vel potius *καὶ θαλεροῖς ληΐοισι* Dorvill. p. 342. sed p. 650 restituit *θαλάμοις*.

240. „*λειάς* Holst.“ Mrg.

241. *ἠγαλίων* Gr. et LH. *εἰναλίων* Dorvill. l. l. *πολυφόρβων* Gr. et LH. *πολυφόρτων* coniec. Gron. *πολυφόρβων*. retinet Dorvill l. l.

245 et 46. transposuit Gron. „transponendi erunt sine dubio hi duo versus“ Mrg.

245. *κακὸς* Gr. et LH. *κακῶν* Mscr. t. Gr. et Mrg.

247. *βροτοῖσι* LH. *δυσάλεκτον* Gr. et LH. *δυσάλυκτον* Dorvill. p. 650.

248. „*δ' εἴ γε σὺν ἠελίῳ ἐπεμβ.* „alius sed minus recte“ Mrg. sed Gron. t. sic in Mscr. legi.

248. *ὁρῶντο* Gr. et LH. Nos *ὁρῷντο*.

250. *ἐφεστιῶτες* Gr. et LH. „*ἐφεστηῶτες* Holst.“ Mrg.

251. „*ἐφ' ἡμερ.* — *μογεῦσιν* scr.“ Mrg. superscript. t. Gr.

252. *ἄληκτον* Gr. et LH. Nos *ἄλληκτον* reposuimus. *φθινύθοντος* Mscr. t. Gr. et Mrg.

εἰ μή πως εὐεργὸς ὁρῴη σχήματα ταῦτα,
καὶ πότμῳ στυγερῷ ζωῆς ἐπὶ τέρμαθ' ἵκοιντο·
ἤτοι ναυφθορίῃ γὰρ ἢ ἐν πελάγεσσιν ἐόντες
κύμασιν ἐῤῥαίσθησαν, ἢ ἐν πολέμῳ κρυόεντι,
ἢ ποταμῷ στυγερῷ ζωῆς χάριν αἰνὰ μογεῦντες,
ἢ ὑπὸ ληϊστῆρσιν ἢ ἐν χάρμῃ δορίληπτοι
πέρνανται σφιγχθέντες ἀεικελίοις ὑπὸ δεσμοῖς·
δηθάκι καὶ θήρεσσιν ἕλωρ καὶ κύρμα γένοντο,
ἢ ὅτ' ἐν ἠπείροισιν ἄφνω κρημνοῖσιν ὄλοντο,
ἢ βρόχον αἰπὺν ἀνῆψαν, ἢ ἐν πτώσει θαλάμοιο,
ὀστέα συνθλιφθέντες ἀΐστως θυμὸν ὄλεσσαν·
ἠδὲ καὶ ἡμερίῃ τὰ τελείεται, ἢν ὀλοῇσιν
καὶ Μήνην σφετέρῃσιν ὑπ' ἀκτίνεσσι βάλωσιν·
εἰ δ' ἄρα τοι γενέθλῃ μὲν ἀρήγοιεν κλυτοὶ ἄλλοι
ἀστέρες, οἱ δ' ἄρα τοι μὴ φαίνοντες φορέοιντο,
νείκεα καὶ κρίσιας θαμινὰς ἐπάγουσι βροτοῖσιν.
Ἢν δ' ἀγαθὸς κέντροιο κρατῇ, ὀλοὸς δ' ἀπόκεντρος,
πρηΰτέρας γε τρίγωνοι ἀεὶ τελέουσιν ἀνίας
σχήματι συμφώνῳ, καμάτων τ' ἀπέλυσαν ἀπ' αἰνῶν.

253. „μὴ πῶς script.“ Mrg.

254. πουμω Gr. et sic script. t. Mrg. ποίμω Holst. πότμῳ LH. et sic Gron. coniecit in annott. — τέρμα θ' Gron. sed ipse l. l. corr. τέρμαθ', et sic legitur in LH. — ἵκοιτο LH.

256. ἐῤῥίσθησαν Gr. et LH. ἐῤῥαίσθησαν Dorvill. p. 648.

258. ληστῆρσιν Gr. et LH. λῃστήρεσσιν Dorvill. p. 315. ληϊστῆρσιν Spitzn. v. de her. pag. 41. δορίληπτοι Gr. et Mscr. t. Mrg. δορύληπτοι LH. Ego totum hunc locum sic legendum opinor: ἤτοι ναυφθορίῃ γὰρ ἢ ἐν πελάγεσσιν ἐόντες κύμασιν ἐῤῥαίσθησαν, ἢ ἐν πολέμῳ κρυόεντι, ἢ πολέμῳ στυγερῷ ζ. χ. αἰνὰ μογεῦντες πέρνανται σφιγχθέντες — δεσμοῖς ὑπὸ — δορίληπτοι. Rigler.

260. θήρεσσι. LH.

261. Fortasse ἠέ τ'. Αxt. ἠπείροισιν LH. „f. ἀστερίαις sc. γενέθλαις“ Mrg.

262. ἀνῦψαν. LH.

263. ὥστε πάλιν θλιφθέντες Gr. et LH. Conieci ὀστέα συνθλιφθέντες vel ἀστράγαλον θλιφθέντες Rigl. — θύμον scr. t. Mrg.

264. ἡμερίη Gr. et LH. „diurna nativitas“ Mrg. ἡμερίῃ Dorvill. p. 649.

267. οἶδ' Gr. οἱ δ' LH. μὴ abest a Mscr. (t. Gr.) et a LH. restituit coniectura Gron.

270. „In ora manuscr. notatur, hunc postponendum sequenti versui“ Gr. — Postpositus est versui 271 in LH. at in margine haec annotata: „hi duo versus transpositi in apographo“ — δὲ Gr. et sic script. t. Mrg. τε LH. scripsimus γε.

Ἠέλιον δ' ὑποδερκόμενοι τοίησιν ὑπ' αὐγαῖς
ἢ καὶ νυκτιπόλον Φαίνων λιποφεγγέα Μήνην,
ἐκ τοκέων δμώων αὐτοὺς ἔρδει θεράποντας·
πολλάκι δ' ὀφθαλμοῖσι σίνος λιποφεγγὲς ἔτευξεν,
καὶ γονέας νούσοις ψυγμῷ καὶ βηχὶ χαλέπτει.
Ἀφρογενεῖ δὲ συνὼν Φαίνων ἢ ἀντιπέρηθεν,
πρεσβυτέρας στείρας τ' ἀλόχους καὶ ἀεικέας αἰνῶς
δῶκεν· καὶ τετράγωνος ἀεὶ χαλεπὸς Κυθερείῃ·
δεινοὺς γάρ τε γάμους καὶ εὐφροσύνης ἄτερ ἔρδει·
λυγρὰ δ' ἄρ' ἧττον ἔδωκε τριγώνοις φέγγεσι λεύσσων·
σχήμασι δ' οὔποτε τοῖσι δεδορκὼς Ἀφρογένειαν
παρθενικὴν ἐπέτρεψεν ἔχειν ἐνὶ δώμασι νύμφην·
δηθάκι δ' ἀσπέρμιους αὐτοὺς καὶ ἄπαιδας ἔτευξεν.
Ἦν δ' ἄρα καὶ Πυρόεντ' ἐπιμάρτυρα τοῖςδ' ἐςαθρήσῃ,
ἤ ὅγε καὶ Μήνην, εὐνούχους πάμπαν ἔθηκεν.
Ἑρμείῃ δὲ συνὼν Φαίνων γλώσσης βλάβος ἔρδει,
καὶ λαλιῆς ἐπέδησ', ἥν περ μὴ φοίνιος Ἄρης
σύμφωνος κατιδὼν λύσῃ κακοεργέα λώβην·
καὶ δὲ δίκας τετράγωνος ἐὼν κρίσιάς τ' ἐπιπέμπει·
καὶ πιναρὴν λασίην τε βροτοῖς ἐπεθρέψατο χαίτην.
Τὼς δ' ἄρα καὶ διάμετροι· ἀτὰρ χαίρουσι τρίγωνοι·
σχήμασι δ' ἐν τούτοισιν ἀεὶ φιλομάντιας ἄνδρας
καὶ βίβλων κρυφίμων μάλ' ἐφιεμένους τελέουσιν.
Ζεὺς δ' Ἄρεϊ ξυνὴν μὲν ἰὼν ὁδόν, ἠὲ τρίγωνος,
ἡγεμόνας ῥέζει στρατιῆς νηῶν τε καὶ ἵππων
καὶ πεζῶν, ποτὲ δ' αὖ μεγάλους βασιλῆας ἔτευξεν,

272. τοιαῖσιν Gr. et LH.

274. αὐτούς θ' ἔρδει Gr. et LH. αὔτους' Mscr. t. Gr. „τ' ἔρδει scr.“ Mrg. Nos θ' delevimus.

276. καλύπτει Gr. et LH. χαλέπτει Dorvill. p. 647.

280. εὔφροσ. LH.

281. ἧττον Gr. ἧττον' LH. „ἧττον apogr. ἧτγον Mscr.“ Mrg. ἔδωκεν Mscr. t. Gr. λεύσων Gr. λεύσσων LH.

285. τοῖς δ' ἐςαθρήσῃ Gr. τοῖςδ' ἐςαθρήσοι LH. „— θροίσῃ scr.“ Mrg.

288. λαλίης Gr. λαλιῆς LH.

291. „ἐπετρέψατο Mscr.“ Mrg.

292. τῶς Gr. τὼς LH. διάμετροι ἀτὰρ — τρίγωνοι. Sic interpunxit Gr. διάμετροι· ἀτὰρ — τρίγωνοι — LH.

293. σχήμασι δ' Gr. et sic script. t. Mrg. σχήμασι τ' LH.

ἢὲ πάτρης προὔχοντας, ἢ ἐν δήμοισιν ἀρίστους·
εἰ δ' ἄρα μὴ πάμπαν μοίρης ἀγαθῆς τετύχοιεν,
ἀλλ' ἀστὴρ ἑτέρωθι νεμεσσήσῃ κακοεργός,
ἢ καὶ ἀποκλίνωσιν ὑπ' αὐγὰς Ἠελίοιο,
σὺν τοίοις ἄνδρεσσιν ἀεὶ στρωφῶνται, ὑπ' αὐτοῖς
στεργόμενοι φιλίῃσιν ὑπείροχον εὖχος ἔχοντες·
πάντες δ' εὐκτέανοι καὶ ὑπείροχον ὄλβον ἔχουσιν·
μείονα δ' ἐσθλὰ διδοῦσιν, ἐπὴν τετράγωνοι ἐῶσιν·
πάγχυ δ' ἀνωμαλίην βιότου διάμετροι ἐόντες
ἀνθρώποις τεύχουσ', ὅτε μὲν πενίην, ὅτε δ' ὄλβον
πυκνὸν ἀμειβόμενοι, αἰεί γε μὲν ἄρκι' ἔνειμαν.
Σὺν Διῒ δ' Ἀφρογένεια βίῳ χαίροντας ἀμόχθως
εὐπρήκτους τε τίθησιν, ἐϋφροσύναις τε γάμοιο
τερπομένους· τοὺς γάρ τε φίλαι τίουσιν ὅμευνοι·
ἐκ γὰρ λιτοτέρων πολυόλβους αὗται ἔθηκαν·
καὶ δὲ καὶ εὐτεκνίη σφιν ἐνὶ μεγάροισιν ὀπηδεῖ·
καὶ δ' ἄλλαις πρὸς Ζῆν' ἐπιμαρτυρίῃσι τάδ' ἔρδει.
Ἐσθλὸς καὶ Στίλβοντι συνὼν μεγάλου Διὸς ἀστήρ,
σχήμασί τ' ἐν πάντεσσιν, ὁρῶν θοὸν Ἑρμάωνα·
τρισμάκαρας τεύχει γὰρ ἀεὶ βασιλήϊον ὄλβον
νωμῶντας χρυσόν τ' ἐθνέων ἄπο δασμολογοῦντας,
κεκλομένους τ' ἐπὶ τοῖσιν, ἀκουομένους θ' ὑπὸ πολλῶν·

298. „ἧς vel ἑῆς Holst.“ Mrg. ἢ ἐν Gr. et LH.

299. ἀγαθῆς τε τύχοιεν Gr. (sed in corrig. ἀγαθῆς τετυχ.) et sic script. t. Mrg. ἀγαθῆς τετύχοιεν LH.

301. ἀποκλείνωσιν Gr. et sic script. t. Mrg. ἀποκλίν. LH.

302. τοιοῖς Gr. et sic script. t. Mrg. τοίοις LH. ἀεὶ στρωφῶνται ὑπ' αὐτοὺς Gr. et LH. „γρ. ἀεὶ στρωφῶσι συνόντες in margine Mscr.“ Gr. Idem „alius“ Mrg. Nos ὑπ' αὐτοῖς.

305. „ἔσθλα script.“ Mrg.

306. „παγχὺ script.“ Mrg.

307. ὅτε μ. — ὅτε δὲ Gr. et LH.

309. ἀμύχθως Gr. et sic script. t. Mrg. ἀμόχθως LH.

310. εὐφροσ. LH.

313. εὐτεκνίης LH. ἐνὶμ Gr. ἐνὶ LH.

314. καὶ δ' Gr. et Mscr. t. Mrg. τ' LH. — ξῆν' Mscr. t. Gr. quod tuetur Dorvill. p. 558. τάδε ἔρδει Gr. τάδ' ἔρδ. LH. „ἔνδει script.“ Mrg. ἐπιμαρτυρίαις Gr. et LH. ἐπιμαρτυρίῃσι τάδ' ἔρδει Herm. ad Orph. p. 730.

317. In LH. hic locus ita distinctus: ἑρμάωνα, τρισμάκαρας, τεύχει γάρ cet.

319. κεκλυμένους LH. „θ' ὑπὸ τοῖσιν alius“ Mrg.

οἱ δέ τ' ἀριγνώτων ἀνδρῶν πλοῦτον διέπουσιν,
οἱ δ' ἄρ' ἀπ' ἐμπορίης ἐσθλῆς βίοτον συνάγειραν,
κέρδεα δὲ σφετέρων καμάτων ἅλις ἐκτήσαντο,
ἄλλοι δ' αὖ κόσμων ἐπιΐστορες ἢ διὰ γραπτῶν
ἰδμοσύνης ἐρίτιμοι ἀγακλῆεῖς τ' ἐγένοντο·
οἱ δ' ἄρα καὶ παίδων ἡγήτορες, ἐν σοφίῃ τε
πολλὸν ἀριπρεπέες μύθων ὑποφήτορες ἐσθλῶν.
Εἰ δ' ἄρα τούςδε Κρόνος μαλεραῖς ἀκτῖσιν ἀθρήσῃ,
πρήξεσι δ' ἐν τοίῃσιν ὑποδρήσσοντας ἔθηκεν.
Εἰ δ' Ἄρης συνίῃσιν ὁμοῦ καλῇ Κυθερείῃ,
ὑβρισταὶ λεχέων τε καὶ ἀλλοτρίων ὑμεναίων
γίγνονται, ἀναφανδὰ μάλ' ἐκτόλμως τάδε δρῶντες,
καὶ δὲ σύνευνοι τῶνδε πολυκλινέες τελέθουσιν
ῥηϊδίως φιλότηθ' ἑτέροις Κυθέρης ὀρέγουσαι·
εἴκελα καί τ' ἄλλαις ἐπιμαρτυρίαις τελέουσιν.
Εἰ δὲ καὶ Ἑρμείης ἐρατὸς σὺν τοῖςδε φανείη,
τῶν ἕνεκεν κρίσιές τε μάχαι τ' ἀγορῇσι πέλονται·
οἱ δὲ καὶ αἰσχρ' ἔτλησαν ἐν ἀλλοτρίοισι δόμοισιν
ληφθέντες, φήμη δὲ κατὰ πτόλιν ἔδραμεν αἰνή.
Ἦν δ' Ἑρμῆς τετράγωνος ᾖ ἀντίος ᾖ κατὰ χώρης,
τὴν δ' αὐτὴν Θοῦρος τροχάσῃ, μάλα λυγρὸς ἐτύχθη·
νείκεα γὰρ γραπτῶν ἕνεκεν κρίσιάς τ' ἐπιπέμπει,

320. *οἵδ' ἔτ'* LH. „*οἱ δ'* script." Mrg.

321. „*οἱ δ' — ἐμπορ.* script." Mrg.

322. *κέρδεά τ'* LH. *κέρδεα δ'* Gr. et script. t. Mrg.

323. „*διαγραπτ.* script." Mrg.

326. *πολλῶν* Mscr. t. Gr. et sic LH.

328. *πρήξεσι δ'* Gr. et LH. „*πρήξεσιν ἤθ' ἑτέροισιν* alius: sed male" Mrg. *τοιῇσιν* Gr. et LH.

329. *σύνησιν* LH.

330. *ὕβρεις τε* Gr. *ὕβρεςτε* LH. *λεχέων καὶ* Gr. et LH. *ὑβρισταὶ λεχέων τε καὶ* Herm. l. l. p. 716.

331. „Usitatius foret *εὐτόλμως*" Dorvill. p. 640.

333. *φιλότηθ'* Gr. ex conj. *φιλότης* Mscr. t. Gr. et sic LH. sed in margine „scribe *φιλότητ'*."

334. *ἴκελα* Gr. et LH. Nos *εἴκελα* restituimus.

337. *αἰσχρὰ* Gr. et LH. *αἶσχρ'* Spitzn. l. l. p. 158. — *δόμοισι* LH.

338. *φήμη δὲ κακὴ πόλιν ἔδραμεν αἰνὴ* Gr. et LH. Ego φ. *δὲ κατὰ πτόλιν ἔδρ. αἰνή.* Rigl.

339. *Ἑρμῇ* Gr. et LH. Nos reposuimus *Ἑρμῆς.* — *ᾖ κατὰ* Gr. et sic scr. Mrg. *ᾗ* LH.

καὶ δόμον ἐξαπίνης κενεὸν βιότου ἀνέφηνεν,
δηθάκι καὶ δεσμοὺς ἐπάγουσ' ὀλοοῖσιν ἐπ' ἔργοις·
ἀλλὰ τρίγωνοι ἐόντες ἐχέφρονας ἐκτελέουσιν
καὶ πυκιναῖς πραπίδεσσιν ἐναίσιμα μητιόωντας.
Φαιδρὸς δ' Ἑρμείης καὶ πασιφαὴς Ἀφροδίτη
ξυνὴν ἐξανύοντες ὁδὸν μάλ' ἄριστοι ἔασιν·
ὄλβον μὲν πρώτιστα δόσαν, μετέπειτα δὲ μύθων
πειθὼ καὶ φιλίην ἀγαθὴν τιμήν τ' ἐνὶ δήμοις·
πρὸς δ' ἔτι παντοίης μούσης ἐπιΐστορας ἄνδρας
τεύχουσιν, μολπῇσιν ἀγαλλομένους καὶ ἀοιδῇ.
Εἰ δέ κε λεύσσωσιν Μήνην καὶ Ζῆνα φέριστον,
καὶ στέφεσιν κύδηναν, ἀγακληεῖς τ' ἐνὶ λαοῖς
ἐξαίτοις γεράεσσιν ἀέθλων εἵνεκ' ἔθηκαν.
Εἰ δ' ἔτι καὶ Πυρόεις τούτοις ἐπιμάρτυρος εἴη,
γίγνονται σταδίοισι παλαισμοσύνῃσιν ἄριστοι,
πυγμαχίῃσι μεγασθενέες πληγῇσί τε χειρῶν,
καὶ θαμιναῖς νίκῃσιν ἀγάλλονται κατ' ἀγῶνας.
Καλὴ καὶ Μήνη καὶ πανδερκὴς Ὑπερίων
ἀλλήλους ὁρόωντες ἐναντίοι, ἢ τετράγωνοι,
ἔξοχα δ' αὖτε τρίγωνοι, ἐπεὶ τόδε πάμπαν ἄριστον
σχῆμα πέλει φαύλοις τε καὶ ἐσθλοῖς ἀστράσι πᾶσιν·
εἰ δέ κεν, ὡς ἐπέοικεν, ἐνὶ ζώοισι φανεῖεν
ἄμφω φάεα καλά, τὸ δ' αὖ πολὺ φέρτερόν ἐστιν·
πάντων μὲν γὰρ ἄριστον ἐνὶ ζώοισι παρεῖναι
ἄρσεσι μὲν Τιτῆν', ἐν θηλυτέροισι δὲ Μήνην·

351. μολπαῖς τ' Gr. et LH. μολπαῖσί τ' Dorvill. p. 314.

352. λεύσσωσιν Gr. et sic script. t. Mrg. λεύσσωσιν LH.

353. κύδην ἀναγακληεῖς' Mscr. t. Gr. „ἀγακλεῖς Holst." Mrg.

355. εἰ δ' ἔτι Gr. εἰ δ' ἔτι LH.

356. Fortasse παλαισμοσύνῃσί τ'.

358. ἀγάλλωνται Mscr. t. Gr.

360. „Versus aliquis deesse videtur" Mrg.

361. φαυλοῖς Gr. et ita script. t. Mrg. φαύλοις LH.

362. ἄστρασι Gr. ἀστράσι LH.

363. εἰ δὲ κενῶς ἐπέοικεν ἐνὶ ζώοισι φανείειν Gr. εἰ δέ κεν ὡς ἐπέοικεν ἐνὶ ζώοισι φανεῖεν LH. „φανείεν Mscr." Mrg. φαίνειν Dorvill. p. 162 et 665.

364. τὸ δ' Gr. τόδ' LH. πολυφέρτερον LH.

προσφιλέες γὰρ ἀεὶ καὶ μείλιχοι ἐξεγένοντο,
ἔργα τε ῥηϊδίως καὶ πρήξιας ἐξετέλεσσαν·
εἰ δέ τ' ἐν ἀρσενικοῖς ἄμφω κλυτὰ φέγγε' ὁρῷτο,
ὠμούς, ἀστεμφεῖς, ἠδ' ἀτρέπτους ἐςίδοιο
γεινομένους, οὐδ' ὅσσον ὑπείκοντας νόῳ ἄλλοις·
ὅσσοι δ' αὖ Μήνην μὲν ἐν ἄρσενι, θηλυτέρῳ δὲ
ἴσχουσ' Ἠέλιον, τοῖσιν δ' ἄρα πρήξιες ἔργων
ἄλλως ἐξανύοντ', ἢ ὡς φρεσὶν ἦσι μενοινή·
αὐτοὶ δ' ἀπρόκοποι, πάμπαν τ' ἐπαρίστεροι ἄνδρες·
θήλεσι δ' ἐν ζώοις ἄμφω κλυτὰ φῶτα φανέντα,
δειλοί, πανταρβεῖς, ἑτέροις ὑποπεπτηῶτες,
θηλύτεροι πραπίσιν, βιότῳ δ' ἐνὶ πάμπαν ἄπρηκτοι,
ἀλλοτρίης γαίης καὶ ἀλητύος ἱμείροντες·
ἀλλὰ τόδ' ἔμπαλιν ἐσθλὸν ἔφυ κεδνῇσι γυναιξίν·
πρηεῖαι γάρ τ' εἰσὶ νόῳ, ποσίεσσί θ' ἑοῖσιν
εἴκουσιν μάλα πειθόμεναι, στυγέουσί τε νεῖκος·
εἰ δ' ἐνὶ θηλυτέρῃ γενέθλῃ δύο φῶτα φανείη
ἄρσεσιν ἐν ζώοις, ἠδ' αὖ μάλ' ἀγήνορι θυμῷ
δεινή τε κρυερή τε πέλει πραπίδεσσί τ' ἄκαμπτος.
Ὁππότ' ἂν οὖν σελάων τοίοις ζώοισιν ἐπόντων
καὶ Θοῦρος πυρόεις καὶ καλλίκομος Κυθέρεια

369. *ὁρῶτο* Gr. et Mscr. t. Mrg. *ὁρῷντο* LH.

370. „*ἀτρέστους* Holst." Mrg.

272. *δ' ἂν* LH.

374. *μενοινὰ* Gr. et LH. *μενοινή* reposuimus.

375. „*ἐπαρίστεροι* script." Mrg. *ἐπαριστεροὶ* LH.

376. *ζώιοις* LH.

377. *δειλοὺς* — *ὑποπεπτηῶτας* Gr. et LH. „*δειλοὶ* — *ὑποπεπτηῶτες* script." Mrg. *πανταρκεῖς* LH.

378. „*πρα τ.* script." Mrg. — *ἔνι* LH. sed *ἐνὶ* script. t. Mrg.

379. *εἱμείροντες* Gr. et sic script. t. Mrg. *ἱμείροντες* LH. *ἀλήτως* LH. „*ἀλήτυος* script." Mrg. et sic edidit Gr.

380. *ἄλλο τόδ'* Gr. et sic script. t. Mrg. *ἀλλὰ τόδ'* LH. et Dorvill. p. 668.

381. *πρηῖαι* Gr. et sic script. t. Mrg. *πρηεῖαι* LH. et Dorvill. l. l. — *ποσίεσσί τ'* Gr. et LH. *θ'* correx. Dorvill. l. l.

382. *ἤκουσιν* Gr. *εἴκουσιν* Dorvill. l. l. *πειθομέναι* Gr. *πειθόμεναι* LH.

383. *ἠδ'* Gr. (sed vertit *haec*) *ἠδ'* LH.

384. *ἄρσεσιν* LH. *ζωίοις*. Id. — *ἠδ'* Gr. et sic script. t. Mrg. *ἠδ'* LH. et ita Gr. (in annott.) et Dorvill. p. 335.

385. „*ἄκαμπτος* script." Mrg.

386. *ὁππότε* Gr. et LH. *ὁππόταν* Herm. ad Orph. 750. — *τοιοῖς* Gr. *τοίοις* LH. *ζώιοισιν* LH. *ἐπόντων* Gr. et LH.

ἄρσεσι δεικήλοισιν ἐπεμβεβαῶτες ὁρῷντο,
καὶ ζῶον πρὸς τοῖς ἄῤῥεν πέλοι ὡρονόμοιο,
ἧς φύσιος λήγουσι, παρὰ λεχέεσσι γυναικῶν
κλινόμεναι φιλότητι, τά τ' ἀνέρες ἐκτελέουσιν·
ἔμπαλι θηλυτέροις δ' ὁπότ' ἀνέρες ἐν ζώοισιν
ἴσχωσ' Ἠέλιον καὶ νυκτεροφεγγέα Μήνην
θῆλυ δὲ καὶ ζῶον κατέχῃ Κυλλήνιος Ἑρμῆς,
πάσχουσ' αἴσχεα πολλὰ γυναικῶν ἔργα τελοῦντες·
δηθάκι καὶ σποριμῆς αἰδοῦς ἀπὸ μήδε' ἔκειραν.
Τῶς μὲν ἄρ' αἰνὰ πέλει φύσιος βροτέης κατέναντα
φῶτ' ἐνὶ δεικήλοισιν ἐὸν δρόμον ἐξανύοντα·
Ἀλλ' ἐπεὶ οὖν μοι θυμὸς ἐνὶ προτέροισιν ἀεῖσαι
δήσατ' ἀναγκαῖον χρεῖος, σάφα νῦν καταλέξω,
ὁππόθεν ἐν γενέθλῃσι χρεὼν ζωῆς χρόνον ἀρχὴν
ἀνθρώποις φράζεσθ' ἠδ' ἔμπαλιν, ὁππόθι λήγει.
οὐ μὲν δὴ πάντεσσιν ὁμῶς μερόπεσσιν ἔοικεν
οἵης ἐκ χώρης ἐτέων λάζυσθαι ἀριθμόν·
ἄλλη γάρ θ' ἑτέρῃ γενέθλῃ ἄφεσις συνάρηρεν.
Ὅσσοις μὲν Τιτὰν ἠοῖ ἔνι γεινομένοισιν

388. *διχήλοισιν* Gr. et sic script. t. Mrg. *δεικήλοισιν* LH. *ὁρῶντο* Gr. et LH. *ὁρῷνται* Herm. ad Orph. p. 750.

389. *ζῶιον* LH. *πέλοι* Gr. *πέλει* LH.

390. *λήθουσι* Gr. et LH. *λήγουσι* Axt. *παρὰ* Gr. et LH. *παραὶ* Herm. ad Orph. l. l. p. 716.

391. *κλεινόμεναι* Gr. et sic script. t. Mrg. *κλινόμεναι* LH. *ἀνέρες* Gr. et sic script. t. Mrg. *ἀνέρος* LH.

392. *ἔνπαλι* Gr. et sic script. t. Mrg. *ἔμπαλι* LH. *δ' ὅποτ'* Gr. *δοτ'* Mscr. t. Gr. *δ' ὅτ'* LH.

396. *ἄπο* Gr. et LH. *ἀπὸ* Axt.

397. „pro *πέλει* fort. *τελεῖ*" Mrg. *τῶς* Gr. *τὼς* LH. *ἄρεια* Gr. et LH. *ἐκεῖνα* vel *ἅπαντα* vel potius *ἕκαστα* Dorvill. p. 650. Nos *ἄρ' αἰνὰ* correximus.

398. „*διχήλοισιν* Holst." Mrg.

399. *ἄλλ'* Gr. (sed ipse *ἀλλ'* correxisse videtur, cum verterit *sed*) *ἀλλ'* LH. *ἀλλ' ὅπερ .... δῆσατ', ἀναγκ. χρεῖος σάφα ν. καταλ.* Dorvill. p. 650.

400. *χρειός* Gr. et script. t. Mrg. *χρεῖος* LH. et Dorvill. l. l.

401. *χρεὼ* Gr. et sic script. t. Mrg. *χρεὼν* LH.

402. *εἰ δ'* Gr. et sic script. t. Mrg. *ἠδ'* LH. *ἐν δ' ἔμπαλιν* Dorvill. p. 650.

403. *ὅμως* Gr. *ὁμῶς* LH. et Dorv. l. l.

404. *οἵης ἐκ χώρης* Gr. et sic script. t. Mrg. *οἵης ἐξ ὥρης* LH. *οἵης ἐκ χώρης* Dorvill. l. l.

405. *ἄφεσιν* Gr. et sic script. t. Mrg. *ἄφεσις* LH. et sic Dorvill. l. l.

406. *ἐνὶ* Gr. et LH. Nos *ἔνι*.

κέντρῳ ἐπεμβεβαὼς ἰνδάλλεται, ἐξ ἄρα κείνου
μοίρης ἄρχεσθαι βιότου χρόνον ἐξαριθμοῦντας·
νυκτερινῇ γενέθλῃ δὲ, Σεληναίης ἀπὸ μοίρης·
ὁππότε δ' ἂν κέντρων ἐκτὸς Φαέθων ἀποκλινθῇ,
ἤ δ' ἂν ἐπὶ μοίρῃσι κατωφερέεσσι πόλοιο'
νίσηται προθέοντα, τότ' ἀστέρος ἄρχεο κείνου,
ὅς ῥά τε δεσπόζει γενέθλης, μέγα τε κράτος ἴσχει·
εἰ δ' ἄρα κἀκεῖνον λεύσσοις κλινθέντ' ἀπὸ κέντρου,
ἐξ ὥρης τότ' ἔπειτα χρόνων ἄφεσιν σύ γε φράζου·
ζωῆς δ' αὖτ' ἀρχὴν εὖτ' ἂν διζήμενος εὕροις,
δεικήλων σκέπτοιο χρόνους, ὁπόσοις περάτηθεν
ἀντέλλει, κείνου τε περὶ μοίρῃσι δάσασθαι·
τῶς γὰρ πλειώνων ἀριθμὸν μοιρῶν τε φράσαιο,
ὅσσους Μοῖρ' ἐπέδησε βροτῶν μογεροῦ βιότοιο.
Ἐν δὲ μέσαις μοίρῃσιν, ἐφ' αἷς ζωὴ νέμετ' ἀνδρῶν,
ἐνδυκέως σκέπτοιο', μὴ ἀκτὶς ἢ τετράγωνος
ἠὲ καταντιπέρην ὀλοοῦ Κρόνου ἢ Πυρόεντος,
ἢ αὐτοί γε συναντόμενοι ζωὴν διέκερσαν.
Νυκτὶ δὲ γεινομένους καὶ παμφεγγὴς Ὑπερίων

407. „sc. δεῖ" Mrg.

410. ἐκτος φαέθων Gr. et sic script. t. Mrg. „i.e. τῶν φαέων τὸ τῆς αἱρέσεως" Mrg. δεκτὸς φαέων LH.

411. ἤ τ' ἂν Gr. ἦτ' ἂν LH. Nos ἤ δ' ἄν. — Pro ἂν aliquando conieci ἄρ' Axt. μοίρεσσι Gr. et LH. μοίρῃσι Herm. ad Orph. p. 716.

412. νείσηται Gr. et sic scr. t. Mrg. νίσσηται Holst.

414. λεύσσοις Gr. et sic script. t. Mrg. λεύσσοις LH. κλινθέντ' Gr. κλιθέντ' LH.

416. ἕν τ' ἂν Gr. εἶτ' ἂν LH. εὖτ' ἂν Dorvill. p. 650.

417. σκέπτειο Gr. et sic script. t. Mrg. σκέπτοιο LH. et Dorvill. l. l. ὁπόσσοι περ ὕπερθεν Mscr. t. Gr. et Mrg. ὁπόσοι LH.

418. κείνου τε Gr. κείνους τε LH. et Dorvill. p. 651. περιμοιβαῖσι Gr. et sic script. t. Mrg. περὶ μοιραῖσι LH. περὶ μοίρῃσι coniec. etiam Herm. ad Orph. p. 716. περ ἡμοιβαῖσι Dorvill. p. 651.

419. τῶν LH. γάρ κεν πλειόνων Gr. et LH. γὰρ πλειώνων Dorvill. p. 651. „ἀριθμὸν Mscr." Mrg. ἁρμὸν Mscr. t. Gr. (in annott.)

420. μοῖρ' Gr. et LH. Nos scripsimus Μοῖρ'.

421. μοίραισιν Gr. et LH. μοίραις Mscr. t. Gr. (in annott.)

423 „καταντιπέρην script." Mrg. κατ' ἀντιπέρ LH.

425. γεινομένοις Gr. et sic script. t. Mrg. γεινομένους LH.

δηθάκις ἀκτίνεσσιν ἑαῖς πνοιῆς ἀπάμερσεν·
πᾶσαν δ' αὐτ' ἄφεσιν πλευρὴ τετράγωνος ὁρίζει·
μήκιστον γὰρ τοῦτο βροτῶν τέλος εὔαδε Μοίραις.

426. πνοιῆς Gr. πνοῆς LH. πνοιῆς Dorvill. p. 651.

427. πλευρῇ Gr. πλευρὴ LH. „πλευρῇ script." Mrg.

428. μοίρης Gr. et LH. μοίρῃς Dorvill. l. l. Nos Μοίραις.

In calce huius libri: μανεθῶνος ἀποτελεσματικῶν βιβλίον γ'. Gr. τετέλεσται βιβλ. γ' τῶν μανεθ. ἀποτελ. LH.

ΜΑΝΕΘΩΝΟΣ

ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΩΝ

ΒΙΒΛΙΟΝ Δ.

Οὐρανίων ἄστρων ἀτραπούς, πλάστιγγας ἀνάγκης,
ᾗσιν ἐφημερίων μερόπων γένος ἐκμεμέτρηται,
Μοιράων τε κέλευθα βροτήσια καὶ πλάνα φέγγη
ἀπλανέων τ' αὐγὰς πυριλαμπέας ἐξονόμηνα,
ζωιδίων τε πόλοιο περίδρομον, ὃς κατὰ γαῖαν
αἰθερίην τε κέλευθον ἐν ἡμιτμῆγι πορείῃ
πλαγκτὰ διχαζόμενος διέπει θεομήτορα κόσμον
ἐξ ἠοῦς ἐπὶ νύκτα καὶ ἀντολίης ἐπὶ δυσμάς·
ταῦτα γὰρ ἐξ ἱερῶν ἀδύτων φύσις αἰθερόπλαγκτος
ὀρθὰ τεκμαιραμένοισι διώρισεν ἀνδράσιν ἄστρα,
οἷς πλαγκτὴ κόσμιοιο βροτοκλώστειρα χορείη
δόγματος ἐξ ἱεροῖο σαφῆ πρὸς ἔλεγχον ἰοῦσα,
ἐξ οὗ μὲν καὶ ἐς οἷον ἀμείβεται εἶδος ἕκαστον.
Πρῶτα μὲν οὖν Τιτὰν παντὸς Κρόνος αἰθέρος ἄρχει,
ἀστήρ, ὃν Φαίνοντα θεοὶ μέροπές τε καλοῦσιν·
οὗτος ἐπὴν οἰκεῖα φανῇ κατὰ δώμαθ' ἑαυτοῦ
γεινομένοις θνητοῖσιν ἐπίσκοπον ἐς βίου ὥρην,

Vers 1. *ἀτραπού;* *πλάστιγγος* Gr. „*ἀτράφους -ιγγος* script." Mrg. *πλάστιγγας* LH. *ἀνάγκης* Gr. et LH. *ἀνάγκη;* Dorvill. p. 407.

3. *προτήσια* Macr. t. Gr. — *πλαναφέγγη* Gr. *πλανὰ φέγγη* LH. *πλάναφέγγη* etiam Dorvill. p. 335.

4. *ἐξονόμηνας* Gr. *ἐξονομῆνας* LH. „*ἐξονόμηνα*, saltem *ἐξονομῆνας*" Dorvill. l. l.

6. *ἐν ἡμιμητ' ἀποῤῥείῃ* Gr. *ἐνημιμηταποῤῥείῃ* LH. „fort. *ἐν ἡμιμητῷ πορείῃ*" Mrg. *ἐν ἡμιτμῆγι πορείῃ* Dorvill. p. 654.

7. *διεπείθεο μήτορα* Macr. t. Gr.

10. *τεκμαιραμένοισι* Gr. et Macr. t. Mrg. *τεκμαιρομένοισι* LH.

11. *οἷς* Gr. *ᾧ;* LH. *χωρείη* Macr. t. Gron.

12. „f. *δώματος*" Mrg.

εὐκτεάνους δείκνυσι καὶ ὄλβου πλείονος ἄρχειν,
εὐτυχέας ζωῇ τε καὶ ἐς τέλος αἰὲν ἀμόχθους·
ἔστι δ' ἐν οἰκείοισι τεταγμένα ταῦτα Κρόνοιο·
ζώδια δ' οἷς τε φανεὶς τεύχει πολυχρήμονας ἄνδρας,
Ὑδροχόος, ταμίης νεφελώδεος Οὐλύμποιο,
Αἰγόκερως, γαίης τε καὶ ὕδατος ἀμφίβιος θήρ,
Κριός, ὅ τ' οὐρανίου κορυφῆς ὅρος, εἴαρος ἀρχή,
καὶ Ζυγὸς αἰγλήεις πρὸς Σκορπίον αἰθερονωμῶν,
τετραπόδης τε Λέων, πολυάστερος ἔμπυρος οἶκος·
οὗτοι ἀεὶ τεύχουσι βροτοὺς εὐδαίμονας ἔργοις.
Ἣν δέ τ' ἀνοικείοισι τόποις κλυτοτέρμονος ὥρης
φυομένοις θνητοῖς μέσον οὐρανὸν αἰθερολαμπῆ
ἢ κείνην ὥρην πανεπίσκοπον ἀμφιπολεύῃ,
παμβλαβέας ῥέζει τε καὶ ἀκτεάνους καὶ ἀδόξους,
ἐνδεέας ζωῆς καὶ ἐφημερίης βιότητος,
καὶ πάσης λύμης ἐπιβήτορας οἰκτρομελάθρους
τεύχει, καὶ λύπης καὶ ἀλημοσύνης μετέχοντας.
Ζεὺς δ' ἐπὶ γεινομένοισιν ὅτ' ἂν κυδόσκοπον ὥρην
εἰςλεύσῃ φαέθοντι πυρὸς θερμοῖο σελασμῷ,
ἢ μέσον οὐρανίης ἀτραποῦ δρόμῳ ἠέρα τέμνῃ,

19. *ζωῇ* Gr. „*ζωῇ — αἰὲν* script.“ Mrg. *ζωῆς* LH.

20 et 21. De transponendis his versibus cogitavit Dorvillius, sed religiose abstinuit. p. 655.

20. *ἐστὶ* Gr. *ἔστι* LH. et sic Dorvill. l. l.

21. *ζωιδίοις τε φαν.* Gr. et LH. Equidem distinguendi signo post *Κρόνοιο* posito conieci *ζώδια δ' οἷς τε φανεὶς* et *ζώοις, οἷς τε φ.* Rigl. „*χρήμοις* script.“ Mrg.

24. *οὐρανίου κορυφῆς ὅρος* Gr. *οὐράνιον κορ. ὅρος* LH.

25. *αἰθερονομῶν* LH., sed in margine „scribe *-νωμῶν.*“

26. Cogitavimus aliquando *τετράποδος.*

28. *δέ τ'* Gr. *δ' ἔτ'* LH. *ἂν οἰκείοισι* LH., sed in marg. „scr. *ἀνοικ.*“ — „*οἰκειοῖσι* script.“ Mrg.

29. *αἰθερολαμπῆ* Gr. *αἰθερολαμπῆ* LH. „*οὐρανον* script.“ Mrg.

30. *ὥρην* Gr. et sic script. t. Mrg. *χώρην* LH.

31. *ἀκτεάνους τε* LH. Quidni *ῥέζει παμβλαβέας τε καὶ ἀκτ.*?

33. *λύπης* Gr. et LH. *λύμης* coni. Rigl.

34. Pro *λύπης* coni. *λύσσης* Dorvill. p. 656, *ἀλησμοσύνης* LH.

35. *ἐπιγειτομ.* Gr. et sic script. t. Mrg. *ἐπὶ γειν.* LH. et sic Gron. in annot. ad v. 36. atque Dorvill. p. 264.

36. *Φαέθοντι* Gr. sed ipse mutavit in *φαέθοντι* (in annott.) et ita Dorvill. p. 264.

37. *δρόμον ἠέρα τέμνῃ* Gr. (sed vertit *in aere*) et LH. *δρόμῳ* vel *ἀέρι τέμνει* Dorvill. p. 656.

ἠὲ κατ' οἰκείων προφανῆ δεσπόσμασι μοιρῶν,
χρυσοστέπτορας ἄνδρας ἢ ἀρχιερῆας ἄυτεῖ
ἔσσεσθαι, πολέων τε διϊθυντῆρας ἀέθλων,
ἠδὲ μεγιστᾶνας τε καὶ ἀλλοτρίων κτεανισμῶν
δεσποσύνους, οἷς τέκνα καὶ ὀλβίστη παράκοιτις
εἰς ἀρετὴν νεύουσα πολὺ κλέος οἴσετ' ἐς οἴκους·
ἡνίκα δ' ἂν πυρόεις Ἄρεος περιλαμπέος ἀστὴρ
ἐν καθέτῳ κόσμου μέσον οὐρανὸν ἀμφιπολεύῃ,
τῆμος ὁ φὺς ἔσεται μὲν ἐν ἡγεμόνεσσιν ἄριστος,
φρουρητῆρα σίδηρον ἔχων, φυλακάς τε κρατούντων,
πίστιν τ' ἀλκήεσσαν· ἐπὴν δ' εἰς τέρμα βίοιο,
μοιριδίου θανάτοιο, μόλῃ πολυπήμονι κόσμῳ,
ἢ διὰ λαιμοτόμου φάρυγος βίον αἵματι λείψει
σφονδυλόεντα τράχηλον ἐς ἰνίον ἀκροτομηθείς,
ἢ διὰ φαρμακτοῖο δόλου νοσερῶς τέλος ἕξει.
Λαμπροφαὴς δ' ἀστὴρ ὁπότ' ἂν δύνουσα φαανθῇ
ζωϊδίοις, ὃν πάντες ἐπεφράσσαντ' Ἀφροδίτης
φωσφόρον, ἐν τούτῳ δὲ γονὰς μερόπων τις ἐνέγκῃ,
ἔσσεται ἀλλοτρίων λεχέων παναθέσμιος ἀνήρ,
ὀρφνήεις, δολοεργός, ἀνέστιος, αἰσχρεόμυθος,
παμψέκτωρ, ἀδίδακτος, ἀεὶ δεδιδαγμένος αἰσχροῖς.

38. *κατ'* Gr. et LH. „f. *καὶ*" Mrg.

39. *ἀρχιερίας* LH. *ἄυτει* Gr. et LH. Nos *ἄυτεῖ* scripsimus.

40. *πόλεων* Gr. *πολέων* LH. et sic Dorvill. p. 650.

41. *μεγιστάνας* — *κτεανισμῶν* Gr. et LH. *κτεατισμῶν* Dorvill. p. 656.

42. *παρ' ἄκοιτις* LH. et Mscr. t. Mrg.

43. *πολύκλεος* Gr. *πολὺ κλέος* LH. *πολυκλέας* vel *πολὺ κλέος οἴσεται οἴκου* aut *οἴκοις* proposuit Gr. (in annott.) *πολυκλέας* Dorvill. p. 656. *οἴκους* Gr. *οἴκοις* LH. *οἴσετ' ἐς οἴκους*. Rigl.

44. *Πυρόεις* Gr. quod ipse mutavit in *πυρόεις* (vid. annot. ad v. 36.) *περιλαμπέος* Gr. et LH. *πυριλαμπέος* magis placet Dorvill. p. 671.

45. *ἀμφιπολεύει* Gr. et LH. — *λεύῃ* Holst. t. Mrg.

47. *φύλακάς τε* Gron. (in annott.)

48. „*ἐτ' ἦν* script." Mrg.

50. „*λιμοτομ.* Mscr." Mrg. *φάρυγγος* Gr. et LH. *φάρυγος* Dorvill. p. 407. *αἵματι λήψει* LH. *αἵματι λείψει* etiam Dorvill. l. l. — *ἰνίον* LH. „*ἰνίον* script." Mrg.

53. *ὁπότ' ἂν* Gr. et sic script. t. Mrg. *ὁπόταν* LH.

57. *αἰσχρεόμυθος* Gr. et LH. Nos *αἰσχιόμυθος* coniecimus (de v. *αἰσχρία* vd. Lobeck. ad Phryn. p. 343.)

58. *παμφέκτωρ* LH. — Pro *αἰσχροῖς* fortasse *αἰσχρῶν*. Axt.

Ἢν δὲ Κύπρις μερόπων ὡροσκόπα φέγγεα λεύσῃ,
αἱμυλίους τεύχει τε καὶ εὐμούσους κατὰ μόχθους,
ἔκ τε γυναικείων χαρίτων λάμποντας ἐν ὄλβοις·
τούτοις θηλείων πιστεύεται ὄρκια κρυπτά,
οὗτοι προστήσονται ἐν ὀργιάδεσσιν ἑορταῖς,
ἔνθα φυγαρσενίῃς μυστήρια τεύχετ' ἄπυστα·
ἣν μὲν γὰρ μεσσοῦντα κατ' οὐρανὸν ἀνδράσιν ὀφθῇ,
φράζει τοι βιοτὴν βαθυχρήμονα χιλιάδας τε
ἀρχὰς καὶ δόξης ἀπλέτου κοσμήτορα κόμπον·
ἐκ τοίης τιμῆς μυστήρια τεύχετ' ἄπυστα.
Στίλβων δ' Ἑρμείαο φανεὶς ἐπὶ τὴν δύσιν ἀστὴρ
γεινομένων βρεφέων ὡροσκόπον ἢ κατὰ μέσσον
οὐρανόν, ἔκ γε λόγων τεύχει προκοπήν τινα θνητοῖς
ἐκ καλαμογραφίης καὶ ὅσ' εἰς μοῦσαν πεπόνηται.
Τούτῳ δ' ὁππότ' Ἄρηος ἔῃ ἰσόμοιρος ἀταρπός,
ἢ διαμετρήσῃ φάεσιν φάος ἀντικέλευθον,
πλαστογράφους χειρῶν μιμήτορας ἀλλοτυπώτων
παμβλαβέας τεύχει καὶ ἀχρήεντας ἰδέσθαι·
Ἀμφίκερως Μήνη δ' ὁπότ' ἂν βιοτέρμονος ὥρης
φωτὶ Σεληναίῳ κατὰ γῆς σκολιωπὰ περῶσα,
τῇ δ' Ἄρης ἰσόμοιρα δι' αἰθέρος ἀκροπολεύῃ,
τηνίκα τοι θεόληπτος ὁ φὺς ἐν σχήματι τοίῳ
γίγνεται, ἐκπληκτός τε, σεληνιάζων τε νόσοισιν,

60. *τεύχει καὶ* Gr. et LH. scribe *τε καὶ* vel etiam *ἠδ'*. *κατὰ μόχθους* Gr. et LH. *καὶ ἀμόχθους*. Axt.

62. Nonne *ὄργια*? Rigler.

64. *ἄπιστα* LH.

65. *μεσόεντα* Gr. et LH. Nos cogitavimus *μέσον ἔντα μεσόεντα*, sed restituimus *μεσσοῦντα*. *ὤφθῃ* Gr. et LH. „scribe *ὀφθῇ*" Mrg. et sic Dorvill. p. 563.

66. *χειλιάδας τε* Gr. et LH.

67. *ἀπλέτου κοσμήτορα* Gr. *ἀπλάτου* LH. „*ἀπλάτου διακόσμητορα* Mscr. *ἀπλάτους διακόσμητορα* superscript. at in marg. γρ. *θεομήτορα κόσμον*" Gr. „*δὲ κοσμ.* Mscr. alius *διάκοσ.* — Holst. *ἀπλέτοι.* Mscr. *ἀπλάτοι θεομήτορα κόσμον.*" Mrg. *ἀπλάτου* etiam Dorvill. p. 563.

69. Fort. *ἐξ οἴης*. Axt. *ἄπιστα* Gr. et LH. *ἄπυστα* Gron. (in annott.) et Dorvill. l. l.

70. *μέσον* LH.

71. *ἔκ τε* Gr. et LH. *ἔκ γε* Rigl.

74. *διαμετρήσῃ* LH.

76. *τεύχει τεύχει* LH.

78. *σκολιοπὰ* Gr. sed in corrigendis: *σκολιωπὰ* et ita LH.

79 „*τῇδε* script." Mrg.

80. *θεόλημπτος* Gr. et Mscr. t. Mrg. *θεόληπτος* LH. *ὀφὺς* Mscr t. Gr.

81. *σεληνιάζων* Dorvill. p. 644.

καὶ μανίης ἀνάμεστος, ἰδ' ἐν σινέεσσι πεπληθώς,
δυστυχίῃ τ' ἐπίφοιτος, ἐπὴν κατὰ γῆς γε φέροιτο·
ἢν δὲ μετ' ἀντολίην μέσον οὐρανὸν ἀμφιθοάζῃ,
παμπλούτους τε τίθησι καὶ ἐντρυφέας καὶ ἐνόλβους·
θηλυγόνους δὲ τέκνοισι καὶ εὐπάτορας καὶ ἀτρέπτους.
Δύναντος δ' ἄστροιο Σεληναίης ὁ λοχευθεὶς
ἔσσεται ἐμπορίης ἐμπείραμος, ἔργα τε πολλὰ
ναυκλήρου βιοτὴν θ' αἱρήσεται, ἐν ξενίῃ τε
τὸ πλεῖστον ζωῆς γε διευθύνων βιοτεύσει·
πουλυπλανὴς γὰρ ἕλιξ Μήνης κερατώπιδος αἰεὶ
λοξὰ ταλαντεύουσα· μένει δ' ἀντλούμενος ὄλβῳ.
Ἠελίου δ' ἀκάμαντος ἐπὴν πυριμάρμαρος ἀστὴρ
ἐς μέσον οὐρανίης προφανῇ πυριλαμπέος αἴθρης,
ἢ γονίμην ὥρην πανεπίσκοπα φέγγεα βάλλῃ
Τοξότεω κατὰ χῶρον ἰδ' εὐαστέρνοιο Λέοντος,
Κριοῦ τ' εὐκεράοιο, καὶ ἐν Διδύμοισι φανθείς,
ζωϊδίοις ἰδίοισιν, ἐς ἡγεμονηΐδας ἀρχὰς
ἵξεσθαι, καὶ σκῆπτρα βροτοῖς βασιλήϊα φράζει,
πλοῦτόν τ' ὀλβήεντα δόμους τ' εὐδαίμονας ἔρδει·
ἐκτὸς δ' οἰκείων μοιρῶν γενέθλῃσιν ἐφεστὼς
πλειστοτόκους, κτῆσιν μὲν ἄγαν πολυχρήμονα τεύχει
καὶ βιοτὴν πλήθουσαν ἀλύπητόν τε δίαιταν·

82. ἔτι σινέεσσι Gr. ἔτ' ἐνσινέεσσι LH. εἰ δ' ἐν σιν. Mscr. t. Gr. „εἰδ' σιν. script." Mrg. ἠδ' vel ἰδ' Gr. (in annott.) ἰδ' ἐν Herm. ad Orph. p. 812.

83. „κατ' ἦν Mscr." Mrg. γῆς τε Gr. et LH. γε maluit scribi Dorvill. p. 657.

85. τίθησιν Mscr. t. Gr. et ita LH.

86. κάτρέπτους Gr. et LH. „fort. εὐθρέπτους" Mrg. κ' εὐέκτους opinatus est Dorvill. p. 657. Nos correximus: καὶ ἀτρέπτους. Aliquando suspicatus sum τηλυγέτους δὲ τοκεῦσι. Axt.

89. „βιότην script." Mrg.

90. ζωῆς τε Gr. et LH. ζωῆς γε Rigl. βιοτεύσῃ LH.

91. κερατώπιδας script." Mrg.

92. ὄλβῳ LH. Nobis in mentem venit ἀντιώμενος (per syniz) ὄλβου.

94. „scribe περιλαμπ." Mrg.

96. εἰδ' Mscr. t. Gr. et Mrg.

98. ἐςῆγε μονήΐδας Gr. ἐς ἡγεμονηΐδας LH.

99. „ἵξεσθαι Gr. et LH. ἵξεσθαι vel ἔσσεσθαι Dorvill. p. 648. —σκῆπτρα LH.

100. δόμοις — ἔρδει Gr. et LH.

102. τεύχῃ Gr. τεύχει LH. Ceterum conieci γενέθλῃσιν ἐφεστὼς παιδοτόκους. Axt. Equidem aliquando cogitavi πλειστοτόκον (plurimum foeneris parientem) κτῆσιν. Rigl.

103. „βιότην script." Mrg.

ἀρχὰς δ' οὐχ ἕξει βασιληΐδας οὐδὲ θρονισμούς,
ἡσυχίῃ δ' ἀφανεῖς σκήπτρων δίχα τούςδε φυλάσσει
ἀβλαβέας, οἴκων τε διευθυντῆρας ἐν ὄλβῳ.
Ὧδε μὲν ἀπλανέων τε πλανητάων τε κέλευθα
ῥομβηδὸν περὶ κόσμον ἁματροχίῃ πεφόρηται·
ἄλλα δέ σοι λέξω πάλι σήματα θεῖα γενέθλης.
Ἡνίκ' ἂν ὡράων πανεπίσκοπα φέγγεα Μήνης
φυομένοις μερόπεσσιν ἀν' οὐρανὸν αὐγάζηται,
ἀστὴρ δ' εἰς δυσμὰς Ἄρεος πυριλαμπέος ἔλθῃ,
ἐνσινέας τε τίθησι βροτούς, ἀβίους, ἀμελάθρους,
καὶ λεπτῆς πενίης χερνήτορας, ἀκτεάνους τε·
πολλάκι καὶ θανάτῳ κακομήχανος ὤλετο δεινῷ·
Ἢν δέ τ' ἀνοικείοισι τόποις ὡροσκόπον Ἄρης
φέγγος ἐπιτρέψῃ γονίμην ἐπὶ γαστέρα θνητῶν,
χωλόποδας τεύχει τε καὶ ἀσθενέας καὶ ἀώρους
νῶτά τε κυρτιόωντας ἰδὲ ψευστῆρας ἀθέσμους
καὶ παναγεῖς ὄλβου τε ποθήτορας ἀλλοτρίοιο·
ἢν δ' ἐπὶ μαρτυρίην Ἄρεως ἐλθοῦσ' Ἀφροδίτη
ὄμμα βάλῃ πανταυγὲς ἐν ἡμερινῇσι λοχείαις,
ἐκ πυρὸς αὐχήσουσι τέχνας μέλανός τε σιδήρου
ἄκμοσι ῥαιστοτύποις μεμελημένοι ἠδὲ καμίνοις.
Ὁππότε δ' ἂν σκοπιὴν ὡροσκόπον ὠδίνεσσιν
Ἑρμείας κατάγῃ, τῷ δ' ἢν Κυθέρη ἐπίφοιτος,
δὴ τότε ῥήτορας ἄνδρας ἰδ' ἐν σοφίῃσιν ἀρίστους
ἔσσεσθαι δείκνυσι, καὶ ἀστρολόγους θεοφήμους,

105. ἡσυχίης Gr. et LH. conieci ἡσυχίῃ. Rigl.

106. ἀβλαβίας Gr. et LH. ἀβλαβέας Herm. ad Orph. p. 716. fortasse -βίας γ' Axt.

107. „-νέων πετλαν. Mscr." Mrg.

108. ἅμα τροχίῃ Gr. ἁματροχίῃ LH. et ita Dorvill. p. 335. — „πεφόρηται Mscr." Mrg.

112. ἄρεως Gr. et LH.

113. ἀβίους τ' Gr. et LH. Nos τ' delevimus.

116. δ' ἔτ' LH. „ἀνοικείοισι Mscr. et Holst. ἀν οἰκ. script. fort. ὡροσκόπου" Mrg.

118. τεύχει, καὶ Gr. et LH. τε addidi, malim tamen ἠδ' Axt.

119. „ἠδὲ Holst." Mrg.

122. ἡμεριναῖσι Gr. et LH.

123. αὐχήσουσι Gr. et LH. Aliquando conieci: ἀσκήσουσι Rigl.

126. „ἑρμειάς script." Mrg. ἢν Gr. ἦν LH. „fort. ἧ" Mrg.

ἔν τε γεωμετρίῃσι καὶ ἐν τελετῇσιν ἀρίστους,
ἔν τε λιθογλυφίῃσι θεῶν νηῶν τε θεμέθλοις.
Ζεὺς δ' ὑπερορμαίνων φοράδην ὑπὲρ ἀστέρα πατρὸς
ἡνίκ' ἂν ἐν καθέτῳ κόσμου μέσον ἀμφιπολεύῃ
ζωϊδίῳ, τῆμος δὲ γονὰς μερόπων τις ἐνέγκῃ,
ἔσσεται ἐμπορικοῦ πλοίου φορτοστόλος ἴδρις,
ναυκλήρου τέχνας θηρήσεται, ἐν χρέεσίν τε
ἱμέρῳ ὠνητοῖσι βιώσεται, ἐργασίην τε
κοινωνῶν πάντων συστήσεται, ἄστατα δ' αὐτῷ
ἐκ θαλάμων νυμφεῖα γενήσεται ἔν τε γυναιξίν.
Ἑρμῆς δ' οἰκείως ὁπότ' ἂν κατὰ κύκλα φαανθῇ,
μαρτυρίῃ δὲ Κρόνοιο κατ' αἰθέρα τῷδε πελάζῃ,
ῥήτορας ἐμφαίνουσι βροτοὺς σοφίῃ τε κρατίστους,
ἑρμηνεῖς τε τίθησι καὶ ἀστρολόγους τότε θνητούς,
χρήματα δ' ἐν χείρεσσι καὶ ὄλβον πρήξιας οἴσει
οὐ μόνον ἀλλοτρίων κτεάνων, ἰδίων δὲ μάλιστα
ὀφθῆναι, γαίης τε τεμεῖν καρπὸν παρὰ νῶτα.
Ἣν δὲ Σεληναίης ἑλικοδρόμος ἄστατος ἀστὴρ
Ἑρμείην σύμφωνον ἔχῃ κατὰ κόσμον ἄταρπόν,
καὶ μούνη Κυθέρεια συνῇ καλῷ Φαέθοντι,
ῥεκτῆρας χρυσοῖο καὶ ἰνδογενοῦς ἐλέφαντος
ἐργοπόνους δείκνυσι, καὶ ἐν πραπίδεσσιν ἀρίστους
ἔσσεσθαι, θριγκῶν τε καὶ εὐτοίχων κανονισμῶν
κοσμήτας μάλα τοι πεπονημένα τεχνάζοντας.

129. γεωμετρίῃσιν Mscr. t. Gr. τελέταισιν Gr. τελεταῖσιν LH.

130. λιθογλυφίαισι Gr. (sed vertit caelatis) et LH. Fortasse λιθογλυφίεσσι Rigl. θεμίθλοις Mscr. t. Gr. et Mrg., sed s superscriptum t. Gr.

133. τίς Gr. τις LH.

134 ἐμπορικοῦ Gr. -ρικοῖο LH. -ρικοίου Mscr. t. Gr. πλοίου Gr. βίου LH. ἴδρυς Gr. ἴδρις LH.

135. θηράσσεται Gr. et LH. Conieci τέχνας θ' αἱρήσεται Axt. χρέεσσίν τε LH.

136. ἵμερον Gr. et LH. Ego ἱμέρῳ Rigl. ἥμενος Axt.

137. κοινωνὸν Gr. et LH. κοινωνῶν Rigler. συνστήσεται Gr. et sic script. t. Mrg. συστήσεται LH.

138. Fortasse ἠδὲ γυναιξίν vel potius γυναικί. Axt.

139. „fort. κατὰ κέντρα" Mrg.

144. μόνων Msc. t. Gr.

147. ἔχοι Gr. et LH.

150. δείκνυσιν Mscr. (t. Gr.) et LH.

151. εὐτύχων Mscr. et Holst. t. Mrg.

Ἄρης δ' αἰγλήεις ὅτ' ἂν αὐγῶν Ἠελίοιο
νέρθε φανῇ Μήνη τε, λοχευομένοισι βροτοῖσιν,
πήρωσιν στονόεσσαν ἐν ὀφθαλμοῖσι τίθησιν
ἔσσεσθαι κείνοισι καὶ ἀμβλυόεσσαν ὁμίχλην.
Ἑρμείας δ' οἰκεῖα τυχὼν κατὰ δώμαθ' ἑαυτοῦ
ἰητῆρα τίθησι βροτῶν, Παιώνιον ἄνδρα,
εἴσεσθαι μάλα καινὰ καὶ εἰς πανάκειαν ἕτοιμα,
ἔν τε λογιστονόμοισιν ἀεὶ πολυπρήκτορας ἔργοις.
Ζεὺς δ' ὅτ' ἂν Ἑρμείᾳ προσμάρτυρα φέγγεα βάλλῃ,
πουλυπλανεῖς ξενίης φαίνει μερόπεσσι κελεύθους
ἵξεσθαι, καὶ λέκτρα γυναικῶν ἥσσονα πολλῷ
θηρήσειν παρὰ κῦδος ἀνάξια θηλυμανοῦντας.
Ταῦτα μὲν ὡράων σκεπτήρια· νῦν δέ με χρειὼ
ἀκτινηβολίας ὁρίων τ' αἴθρωπα κέλευθα
δωδεκατημορίων τ' ἄστρων κυκλόεσσαν ἐνισπεῖν
ζωδιακήν, ἐξ ὧν γενεαὶ τέχναι τε βροτοῖσιν
κλωστὴν ἐκπληροῦσι βίου θνητοῖο πορείην.
Πρῶτα μὲν οὖν Στίλβων, φανερὸς θεός, ἡνίκα καὶ Ζεὺς
εἰς ἀκτῖνα βάλῃ Ἄρεος φαίνοντι σελασμῷ,

153. „αἴγμηεις Holst. fort. αἰγήεις scrib. voluit“ Mrg.

154. λοχευομένῃτε Gr. et sic script. t. Mrg. λοχευομένοισι LH. et ita corr. Herm. ad Orph. p. 811. βροτοῖσιν Gr. βροτοῖσι LH.

155. στενόεσσαν LH. ὀφθαλμοῖσιν Mscr. t. Gr. et Mrg.

157. Ἑρμῆς δ' εἰς οἰκεῖα Gr. et LH. Ἑρμείης δ' οἰκεῖα τυχ. Dorvill p. 250. σῶμα θ' ἑαυτοῦ LH. „σώμαθ' sript.“ Mrg.

159. ἔσσεσθαι μάλα κεῖνα Gr. et LH. εἴσεσθαι μάλα δεινὰ καὶ vel εἴσεσθαι μάλ' ἀκεῖα vel μάλ' ἀκεστὰ Dorvill. p. 158 et 657. μάλα καινὰ Rigl.

160. πολυπράκτορας Gr. et LH.

161. ὅταν LH. ἑρμεία Gr. ἑρμείᾳ. LH.

162. „Hic videntur omissi esse aliquot versus, quoniam talia apotelesmata minime conveniunt Mercurio ioviali“ Mrg.

163. ἵξεσθαι LH. ἵξεσθαι vel ἱξομένους Dorvill. p. 648.

164. θηράσσειν Gr. et LH. θηλυμανοῦντες LH.

165. „χρειώ Mscr.“ Mrg. χρειών LH.

166. ἀκτινοβολίας LH. „ἀκτινοβολῆας Holst. ὁρίων script.“ Mrg. αἴθωπα Gr. αἴθρωτα Mscr. et LH. ἄντωπα conicc. Dorvill., praefert tamen αἴθρωπα. p. 637.

167. ἀστροκυκλόεσσαν Gr. et LH. ἄστρων κυκλόεσσ. Dorvill. p. 335. — „ἐνισπεῖν script.“ Mrg. ἐνίσπειν LH.

169. θνητοῖσι Gr et LH. βίου θνητ αἶα conl. Dorvill. p. 658.

170. „fort. θοός“ Mrg.

171. Ἄρεως Gr. et LH. „βάλῃ script.“ Mrg. φαίνοντι Gr. et sic script. t. Mrg. φαίνων τε LH. φαέθοντι suspicator Dorvill. p. 261.

ἠὲ κατ' οἰκείων ὁρίων πυριλαμπέος ὀρθῇ
αἰθέρος, ἀθλητῆρας ἀελλόποδάς τε προφαίνει
στιῤῥοτάτους τ' ἔσσεσθαι, ἰδ' ἐν νίκαις ἱερῇσιν
στέμματα μυριόδοξα, καὶ εὐδοκιμοῦντας ἐν ἄθλοις·
Ἄμφω δ' ἢν τούτοισι Κρόνου προσμάρτυρος ἀστὴρ
εἰν ἰδίοις ὁρίοις φαινώπιδα τάξιν ἐπίσχῃ,
ἀστεφάνους τεύχει μέν, ἀλειπτῆρας τε κρατίστους
παιδοτρίβας δείκνυσι διδασκαλίης τε παρέδρους.
Ἢν δὲ καὶ ἀφρογενοῦς Κύπριδος θοὸν ἀστέρα βάλλῃ
ἀκτὶς Ἑρμάωνος, ἐναλλάγδην τε γένωνται
εἰς ἰδίων ὁρίων ἄμφω τρίβον αἰθερόπλαγκτον,
κωμῳδοὺς χορικῶν τε μελῶν μελπήτορας ἄνδρας
δείκνυσιν, μαχλικῶν τε λόγων θρασυγλωσσέας ᾠδούς,
ναβλιστοκτυπέας τε χοροῖς, κιθάρης τε μελουργούς,
ὀρχηθμῶν ἴδριάς τε, καὶ ἐν θυμέλαις προφέροντας.
Ἡνίκα δ' ἂν Κρονικοῦ σέλας ἀστέρος αἰθέρος αἴγλην
πορφυρέαις ἀκτῖσι καταντίπερ' αἰγλοβολήσῃ,
δισσά τ' ἐν ἀλλαγμοῖσι φανῇ σελαγίσματα τῶνδε
ὧν ὁρίων, τεύχει θρηνήτορας ἄνδρας, ἀσέμνους,
κεδροχαρεῖς, σοροεργὰ τέχνης καινίσματ' ἔχοντας,

172. περιλαμπέος LH. „πυριλ. script.“ Mrg.

173. προφανεῖ Gr. „προφάνει script.“ Mrg. προφαίνει LH. et ita Dorvill. p. 643. αἰολοπάλας τε Gr. et LH. ἀεθλοπάλας τε vel ἐλαιοπάλας τε Dorvill. l. l. Nos ἀελλόποδας coniecimus. Mihi aliquando etiam in mentem venit: ἀεὶ παλάμῃσι προφ. στεῤῥοτάτους Rigl.

174. στεῤῥοτάτους Gr. et LH. τ' addidimus.

177. εἰν LH.

178. εὐστεφάνους dubitanter suasit Dorvill. p. 316.

179. „τε script.“ Mrg. et sic edidit Gr. δὲ LH.

183. λογικῶν Gr. et LH. Ego χορικῶν coniecı. Rigler. Equidem λυρικῶν Axt. μελπέτορας Gr. et LH. „μελπήτορας Holst.“ Mscr.

185. ναβαιστοκτυπ. Mscr. (t. Gr.) et LH. Coniecimus: ναβληοκτυπέας sive ναβλειοκτυπέας.

186. ἴδριας Gr. ἴδριας LH.

187. „Pro αἰθέρος fort. ἄρεος“ Mrg.

188. πυρφερέαις Gr. „πορφερ script.“ Mrg. πορφυρέαις LH. et sic Dorvill. p. 308. Idem πυρφερέεσσ' ἀκτῖσι, deinde πυρσαῖς ἀκτίνεσσι coni p. 658. ἀκτίνεσσι Gr. et LH. καταντίπερ Gr. καταντίπερ' LH. et ita Dorvill. p. 309.

189. „δίσσα script.“ Mrg. ἐν ἀλλαγμοῖσι Gr. ἐναλλαγμοῖσι LH. „σελαγίσμασι Mscr.“ Mrg. id superscriptum esse testatur Gr.

190. ὧν ὁρίων Gr. et LH. „οὐρίων Holst.“ Mrg. εἰν ὁρίοις Dorvill. p. 658.

191. κεδροχαρεῖς σορόεργα. Gr. κεδροχαρεῖς, εἰς ὀρόεργα LH. — ὀροέργα Mscr. t. Gr. καινίσματ' Gr. et LH. id retinet

νεκροτάφους, κλαυστῆρας ἀποφθιμένων, νεκρονώμας.
Ἢν Πυρόεις δύνῃ Φαίνοντι συνὼν ἐπίκεντρος,
Ἑρμείας δ' ἰσόμοιρος ἐν ἀμφοτέροισι φαανθῇ
εἰν ὁρίοις καὶ κέντρῳ ἐπὴν ἴσχωσι Σελήνην,
ἀνδροφόνους δρῶσιν, ληΐστορας, ἐμπεδολώβας
κέρδεος ἐχθροτάτου θηρήτορας, οἳ βασανηδὸν
στρεβλὰ κολαζόμενοι σκολοπηΐδα μοῖραν ὁρῶσιν
πικροτάτοις κέντροισιν προσαρτηθέντες ἐν ἥλοις,
οἰωνῶν κατάδειπνα, κυνῶν θ' ἑλκύσματα δεινά.
Ζῆνα δ' ὅτ' ἂν φαέθοντα βάλῃ λαμπραύγετις ἀκτὶς
Ἑρμείου, μίγδην τε διαλλάξωσιν ὁρισμούς,
ῥητορικῆς φαίνουσι τέχνης σοφίης τε κρατίστους
ζηλωτὰς σκολιῶν τε λόγων, νεότητά τε λαμπρὰν
γραμματικήν τ' ἄσκησιν ἐνὶ στέρνοισιν ἔχοντας.
Στίλβων δ' Ἑρμάωνος ὅτ' ἂν Κυλλήνιος ἀστὴρ
φωσφόρον ἀκτίνεσσι βάλῃ Κυθερηΐδος αἴγλης,
τάς τ' αὐγὰς ἐπέχοντες ἐν οὐρανῷ ἀστερόεντι
δωδεκατημορίων σχῶσιν βάσιν εἵλικα, θνητοὺς
γεωμέτρας δείκνυσι μαθηματικούς τε φανεῖσθαι,
ἀστρολόγους, μαγικούς τε θύτας, ἰδὲ μάντιν ἔθηκεν,
οἰωνοσκοπικούς τε, σαφεῖς θ' ὑδρομάντιας ἔρξεν,
οἷς λεκανοσκοπίῃ πιστεύεται ἢ νεκυϊσμός.
Κυπρογενὴς δ' ἀκτῖνας ἐς ἠέρα πυρσοβολοῦσα
ἄμμιγα φωτὶ Κρόνου τεύχει μεροπήϊα ἔργα

Dorvill. p. 327. *κανονίσματ'* Spitzn. de v. h. p. 158.

192. Quidni pro *νεκρονώμας* scripserit *νεκροκόσμους* aut simile quid?

195. *εἰν'* LH. „*εἰν* script.“ Mrg. *ἐπανίσχωσι* Gr. et LH. *ἐπὰν ἴσχωσι* Dorvill. p. 336.

197. *ἢ βασαν* Mscr. t. Gr. et Mgr.

198. *σκολοπηΐδα* Gr. et LH. Pro *ὁρῶσι* fort. legendum *ὀχοῦσιν*. Axt.

199. Pro *ἐν ἥλοις* legerim *ἀνηλέως*. Axt.

200. *ἑλκίσματα* LH.

201. *Φαέθοντα* Gr. *φαέθοντα* LH. et sic Dorvill. p. 264.

204. *νεότητά τε λαμπράν* Gr. et LH. *νεότητί τε λαμπρῶν* Axt.

208. „*ἐπέχοντες* script.“ Mrg. *ἀπέχοντες* LH.

209. *ἡνίκα θνητούς* Gr. et LH. Equidem *εἵλικα, θνητοὺς* Rigl.

210. *γαιωμέτρας* Gr. et LH. „*γεωμέτρ.* Holst.“ Mrg.

211. *μάντιν* Gr. et. LH. *μάντις* Dorvill. p. 457 et 658. — *ἔθηκαν* LH.

212. „Potuerat *ὑδρομάντιας ἔρξεν*“ Dorvill. p. 658.

213. „*τεύχῃ* Mscr.“ Mrg.

δοῦλα θεῶν ἱερῶντε νεωκόρα λυσσομανούντων
νοῦν τε σεληνιάζοντα προφητάζοντά τε θνητοῖς.
Ἠέλιον δ' ἀκτῖσιν Ἄρης πυριλαμπέσι βάλλων
Μήνης ὁρμώσης μέγα Κύπριδι κοινὰ σὺν αὐτοῖς,
θηλυτέρους γονίμων παίδων ἰσομήτορας ἄνδρας
γαλλομανεῖς τ' ἔσσεσθαι ἀγυρτῆρας τε προφαίνει,
καὶ πολυπλαγκτοσύνης ἐπιβήτορας, οἰκτροκελεύθους,
δυστυχέας, καμάτου τε κακοῦ διαδέκτορας αἰεί.
Ἣν δὲ Σεληναίην ἑλικάστερον αἰθροβολήσῃ
ἀκτῖσι χρυσέῃσι φιλομμειδὴς Ἀφροδίτη,
ἢ κοινῶς ἐπὶ ταὐτὸ πόλου διὰ κύκλα περῶσιν
δωδεκατημορίοισι, προφήτορας ἱερολήπτους
ἀνέρας ἐμφαίνουσι, καὶ ἐν τελετῇσιν ἀρίστους,
μυστιπόλους ῥεκτῆρας ἰδ' ὀργιόωντας ἔσεσθαι.
Ἄρης δ' Ἑρμείαν διὰ λαμπάδας ἀντία βάλλων
ἠὲ δρόμον γ' ἰσόμοιρον ἰὼν μετὰ τοῦδε σελασμοῦ,
σωματοφρουρητῆρας ἰδ' ἔμπαλι σωματοφόρβους,
πλαστογράφους τεύχει τε καὶ ἐν ψεύσταις προφέροντας,
καὶ θεολωβήτας, κακοεργέας, ἀφθιτομίσους
καὶ κατονειδιστῆρας ἐν ἀλλοτρίῃσι βλάβῃσιν,
ψέκτας ἀνθρώπων διαβλήτορας, οἷς τὸ τεχνασθὲν

216. Fortasse scribendum *ἱερίων*. Axt.

217. *σεληνάζοντα* Gr. et LH.

219. *μέγα* Gr. *μέγα* LH. et sic Dorvill. p. 564.

220. Cogitavi *λόμαντορας* vel *λώβητορας* Rigl. Equidem conieci *μηδέων ἀπαμήτορας*. Axt.

221. *ἀργυρτῆρας* Mscr. t. Gr. et Mrg.

225. *χρυσῇσι* Gr. et LH. *χρυσῇσιν* Mscr. t. Gr. *φιλομειδὴς* Gr. *φιλομηδεὶς* LH.

226 *κοινῶς* LH. *ταὐτοπόλου* Gr. sed in corrig. *ταυτὶ πόλου* — *ταὐτὸ πόλου* LH. „scriptum *εἰ κοινῶς ἐπὶ ταυτο πόλου*“ Mrg. *διὰ κέντρα* LH. „f. *κατὰ κέντρα*“ Mrg. *παρῶσιν* LH.

227. *ἱερολήμπτους* Gr. et LH. „*ἱερολήπτους* Holst.“ Mrg.

228. „Fort. *ἐκφαίνουσι*“ Mrg. *τελέταισιν* Gr. *τελεταῖσιν* LH.

230. *ἀκτινιβάλλων* LH. *ἀκτῖνι βάλλων* Gr. et Holst. t. Mrg. *διαλαμπάδα* Gr. et LH. *διὰ λαμπάδα* Gr. (in annott.) *Ἄρης δ' Ἑρμεία διὰ λαμπάδα ἀστέρα βάλλων* (p. 308.) deinde *Ἄρης δ' Ἑρμείαν διαλαμπέα ἀστέρι βάλλων* vel *Ἑρμεία διαλ. ἀστέρα βάλλων* Dorvill. p. 309 et 638. *Ἄρης δ' Ἑρμείαν ἀκτίνων λαμπάδι βάλλων* Herm. ad Orph. p. 750. Pro *ἀκτῖνι* conieci *ἀντία*. Axt. Ego *διὰ λαμπάδας* reposui Rigler.

231. *ἢ δρόμον — ἢ ἰσόμοιρον* Gr. et LH. Conieci *ἠὲ δρόμον γ' ἰσομ.* Rigl.

232. *σωματοφρου ῥητῆρας* Mscr. t. Gr.

235. *καταναιδιστ.* Gr. et LH. *κατονειδιστῆρας* coni. Dorvill. p. 301.

εἰς ἀπάτην δολόεσσαν ἀληθείης πέλας ἥξει.
Ἡνίκα δ' ἂν σὺν τοῖσι καὶ Οὐρανίδης Κρόνος ὀφθῇ
ζωϊδίῳ, Φαίνων τε κατ' αἰθέρα φαίνοπι ῥόμβῳ
ἢ κατὰ Τοξότεώ γε βάλῃ σελάεσσι μελάθρου
ἠὲ κατ' ἰχθυόεντα, βορειοτάτην τε χορείην,
ἔνθα τε Παρθένος ἐστὶ περὶ Πλάστιγγα Λέων τε,
ἰχθυοθηρευτάς τε καὶ ἰξοβόλους δολοεργούς,
τοξελκεῖς τε τίθησι καὶ ὀρνίθων τροφοποιούς,
θηροδιδασκαλίης ἐπιβήτορας ἱμερόεσσης,
οἷς ἀγρίη γενεῇ τιθασῷ πρηΰνετ' ἀγωγῇ,
κτηνῶν τ' ἀγρονόμων σημάντορας ἐμβασικοίτους·
τούτων οὐκ ἀτυχὴς μὲν ἔφυ βίος, ἀλλ' ἐπίμοχθος.
Αἰπυπλανὴς δὲ Κρόνος Μήνης ἀκτῖσι πελάζων
δωδεκατεμορίοισιν ἐν ἀλλαγμοῖσιν ἑαυτῶν,
ἀχθοφόρους ὑδρέας τε καθαρτῆρας τε κελεύθων
ἀμφοδικῶν, οἰκτρούς τ' ἀμαρησκαπτῆρας ἔσεσθαι
ἀγγέλλει, λουτρῶν τε καθαρτῆρας βαλανείων,
ἔν τε παραιχυσίεσσι μέλη μωλυτὰ καθέψει
καὶ πτηνοῖσιν ἄβρωτα καὶ ἀρνοφάγοισι λύκοισιν
πρὸς δ' ἔτι φύσονται τούτοις καρποσπόροι ἄνδρες,
ληνῶν ἀντληῆρες, ἐν ὕδατι γηράσκοντες,
ἀρδευταὶ φορβῆς, λαχανηφόροι, ἠδ' ἐπίμοχθοι
ἀνθολόγοι, γαίης τε μεταλλευταὶ καὶ ὑπουργοὶ

240. τοξότεώ τε Gr. et LH. γε Axt. fortasse τοξότεω βάλλῃ Rigl.

242. λέοντος Gr. et LH. λέων τε Dorvill. p. 658.

245. θηροδιδασκαλίης ἐπιβητ. Gr. — σκαλίης τ' ἐπιβήτ. LH.

246. τιθάσῳ Gr. et sic script. t. Mrg. τιθασῷ LH.

248. „ἐφήβιος Holst." Mrg.: sed lineola per. v. ἐφ. ducta est.

250. ἀλλήλοισιν Gr. et LH. conieci ἐν ἀλλαγμοῖσιν. Rigl.

251. ὀχθοφόρους Gr. et LH. ἀχθοφόρους coni. Dorvill. p. 322.

252. ἀμαρησκαπτῆρας Gr. et LH. οἰκρούσταμαρη σκαπτῆρας. Mscr. t. Gr. ἀμάρης σκαπτῆρας Dorv. l. l.

254. παραυχυσίῃσι Gr. παραιχ. LH. παραγχυαίῃσι Dorvill. p. 647. Nos παραιχυσίεσσι correx. μέλη βιολυτὰ Gr. μεληβιωλυτά Mscr. t. Gr. μελημώλυτα LH.

255. ἄβροτα Gr. et Mscr. t. Mrg. ἄβρωτα LH. et sic Dorvill. p. 647.

256. δέ τε Gr. δ' ἔτι LH. et Dorvill. p. 336. — φύσσονται Gr. et LH. φύσονται Dorvill. p. 659·

258. ἐπίμοχθοι an sana vox sit, dubitat Dorvill. p. 659.

δυσπονίης, οἷς λᾶες ἀπ' οὔρεος ἀκροτομοῦνται,
χαλκὸς κασσίτερός τε κελαινόχροός τε σίδηρος·
πάντ' ἐπεὶ ἐν γαίῃ μερόπων ἐπίνοια ματεύει.
Ἢν δ' ἀκτὶς Κρονικὴ κορυφὴν ἐπ' Ἀρήϊον ἔλθῃ,
φεγγοβολῶν ὀπτῆρα κακὸς κακόν, αἰγλάζοντες
ἔν θ' ὁρίοις ἰδίοισι δυωδεκατημορίοις τε
συμμίγδην ἐπιβῶσι τριγωνίζοντι σελασμῷ,
γαστρονόμους, νεκρῶν τε ταριχευτῆρας ἀπηνεῖς
ἔσσεσθαι φαίνουσι, καὶ ἐμπορίης τε ματευτάς,
καὶ μυσαροὺς σηπτάς τε τεχνάσμασι σηπεύοντας,
ἔνθα δυσοσμίη τε καὶ οἰκτρότατ' ἔργα τελεῖται.
Ἠέλιος δ' ἄκαμας ὅτ' ἂν ἀθρῇ τὸν πυρόεντα
ἀστέρ' Ἐνυαλίοιο θοαῖς ἀκτῖσι βολαυγῶν
ζωϊδίων τετράγωνον ἀν' οὐρανόεσσαν ἀταρπόν,
ἀμφίκερω Ταύροιο καὶ ἀσθματικοῖο Λέοντος
Κριοῦ τ' εἰαρόεντος, ἐπ' ὠδίνεσσι βροτείαις
ἰσχυρῶν ἔργων τεύχει πονοπαίκτορας ἄνδρας,
ὀχλοχαρεῖς, φιλόμοχθα θεατρομανοῦντας, ἴχνεσσιν
αἰθροβάτας, πηκτοῖσι πεταυριστῆρας ἐν ἔργοις,
αἰθέρι καὶ γαίῃ μεμετρημένα ἔργα τελοῦντας,
μιμοβίους, χλεύης τ' ἐπιβήτορας, ὑβριγέλωτας,
ἐν ξείνῃ γήρως ἐπιβήτορας, ὀθνιοτύμβους,

260. δυςτονίης Gr. δυςτονίης LH. et Dorvill. l. l.

262. πάντ' Gr. πάντα LH. πᾶν γὰρ vel πᾶν τῆς Dorvill. l. l. Ego πάντ' ἐπεὶ ἐνγαίῃ μερόπων cet. Rigl. Aliquando conieci: πᾶν γὰρ ὑπαὶ: posthac Rigleri secutus vestigia πάντ ἐπειὴ γαίης. Axt.

268. καὶ ἐμπορίης τε ματευτὰν Gr. et LH. Haec aperte corrupta; sed emendent acutiores.

269. μυσερούς Gr. et LH. μυσαρούς Dorvill. p. 659. σηπτάς τε Gr. et LH. σηπτοῖς τε Dorvill. l. l. τεχνάμασι LH.

272. „ἐνυέλοιο script. sed ἐνυαλ. Mscr.“ Mrg.

273 ἂν Gr. ἄν LH. Fortasse ἐν οὐρανίῃσιν ἀταρποῖς. Axt.

274. ἀσθμοτόκοιο Gr. et LH. Nos ἀσθματικοῖο.

275. ἰαρόεντος Gr. et LH. εἰαρόεντος Dorvill. p. 301.

276. ἰσχυρῶν Gr. et LH. αἰσχρουργῶν Dorvill. p. 300. cuius coniecturae tamen eum poenituit (p. 659.) — πονοπέκτορας Mscr. t. Gr. (in annott.) et sic LH.

277. ἴχνεσιν Mscr. t. Gr.

278. πηκτοῖσιν Mscr. t. Gr. sic etiam LH. πετευριστῆρας Gr. et LH. πεταυριστῆρας Dorvill. p. 608 et 661.

ὄρνεα γῆς, πόλιος πάσης ἀπόλιστα γένεθλα,
μωρόφρονας, λιτούς, ἀσχήμονας, αἰσχρογέλωτας,
κρατοπαγεῖς, ἀχίτωνας, ἀεὶ κορυφῇσι φαλακρούς,
ὧν ὁ βίος χλεύης τέχνην ἀπεμάξαθ' ὁμοίην.
Ἢν δὲ σὺν Ἠελίῳ τε καὶ Ἄρεϊ καὶ Κύπρις ὀφθῇ,
σχοινοβάτας τεύχει, καλοβάμονας, ὑψόθεν εἰς γῆν
γειτονίῃ θανάτοιο καταῤῥιπτοῦντας ἑαυτούς,
ὧν ὁ πόρος μόρος ἐστίν, ἐπὴν εἰς σφάλματα νεύσῃ·
Τούτοις δ' ἄμμιγα πᾶσι Κρόνου συναλώμενος ἀστὴρ
τειχοδόμους τε τίθησι, καὶ εὐτόλμους κεραμουργοὺς
πηλαίης πλίνθου τε καὶ εὐτοίχων κανονισμῶν
θριγκῶν τ' εὐθυντῆρας, ἀεὶ καμάτοισι συνήθεις.
Ἢν δ' ἰσόμοιρα κέλευθα Κυθήρη Ἄρεϊ βαίνῃ,
ἠὲ τρίγωνος ἐοῦσα κατ' ἔμβασιν ἢ τετράγωνος,
ἢ διαμετρήσῃ φάος ἄπλετον ἀστέρι κείνῳ,
ἄμφω δ' αὖτε τὸν αὐτὸν ἅμα θρώσκωσι τυχόντες,
δωδεκατημορίων ἴκελον δρόμον αἰθροδόνητον·
τηνίκα τοὺς τεχθέντας ἀναγγέλλουσιν ἔσεσθαι
ζωροπότας οἴνου, μεθυχάρμονας, εἰλαπινουργούς,
δαιτυμόνας, θιάσοισιν ἀεικώμους, ἀκολάστους,
ἤματα νύκτας ἄγοντας ὕπνῳ μετακοσμηθέντα·
πρὸς τούτοις δ' ἔτι πουλὺ κακώτερα βλαστήσουσιν,
πλαστοκόμαι, νομίμων λεχέων κλεπτῆρες ἄθεσμοι,

282. πόλεως Gr. et LH.

283. λιτοὺς Gr. et LH.

284. κραλοπαγεῖς LH. Nonne etiam Loco κηροπαγεῖς?

285. Nonne χλεύῃ?

288. καταριπτοῦντας Gr. καταῤῥιπτοῦντας LH. et Dorvill. p. 608.

289. „ἐπ' ἢν script." Mrg.

291. εὐτόλμους Gr. et LH. Fortasse εὐτόρνου κεραμούργους πηλαίης vel εὐμόχθους κεραμ.

292. πλίνθου τε Mscr. t. Gr. εὐστοίχων Gr. (in annott. ad. v. 139.)

294. βάλλῃ Gr. et LH. βαίνῃ Dorvill. p. 659.

296. ἄπλατον Gr. et LH. retinet Dorvill. p. 562. Nos ἄπλετον.

298. ἴκελον Gr. et sic script. t. Mrg. ἴκελον LH. ἑλικὸν vel ἑλικῶν. Axt. Ego cogitavi quondam σκολιόν. Rigler.

301. „δαιτύμονας θιασοῖσιν script." Mrg.

302. ὕπνῳ μετάκοσμηθέντας Gr. et LH. μετακοιμηθέντας Gr. in annott. Saltem κατακοιμηθέντας (ut Dorvill. legit p. 659.) aut μετακοσμηθέντα legendum.

303. „δέτι Mscr." Mrg. πολὺ Gr. et LH. πουλὺ emendavimus. βλαστήσωσιν Gr. et LH. βλαστήσουσιν correximus.

304. μοιχάται, αἱμορέοντες ἀεὶ Gr.

μοιχευταὶ μυρόεντες ἀεί, νεομορφοτύπωτοι,
μάστροπά τ' ἔργα τελοῦντες, ἀεὶ κακίῃσι γυναικῶν
σύμβουλοι, δόλιοι, κακομήτορες, αἰσχροδιδάκται,
ἴδμονες, ὧν ἄλοχοι θαλάμους πωλοῦσι συνεύνων.
Ὁππότε δ' ἂν τούτοισι Κρόνου βλαβεραυγέος ἀστὴρ
συννεύῃ κατὰ χῶρον ἀνοικείοισι κελεύθοις,
παμπαθέας, στομάτεσσιν ὀπυιομένους, γονοπώτας,
μήδεα μασθὸν ἔχοντας, ἀναστροφίῃ τ' ἐφυβρίστους
ἐκφαίνει φύσεσθαι, ἑταιροτρόφους τε γόητας,
πορνοσύνης ἀκρατοῦς σημάντορας, αἰσχροκερδεῖς,
ἔχθιστον, μυσαρόν, μεμαχλευμένον ἦτορ ἔχοντας,
παμψέκτους, ἀπόφωλα βίου μυσαρωπὰ γένεθλα.
Φαινούσαις δ' ἀκτῖσιν ὅτ' ἂν Κρόνος εἰς Ἀφροδίτην
λαμπάζῃ, σελάεσσι φλογὸς βαρυβάμονος ὁλκῷ,
Ἄρης δ' αἰθαλόεις παρέῃ σὺν τοῖσι διωγμοῖς,
βυρσοτόμους τεύχει, δορoεργέας, ἔν τε καθέδραις
σκυτείῃ τέχνῃ μεμελημένα δαιδάλλοντας,
θηλυλάλους, ῥάπου τε γυναικῶν ἴδριας αἰεί,
τεκτοσύνης τ' ἄρχοντας, ἰδ' ἐν ναυπηγέσι τέχναις
καγκανέης ὕλης πελεκήτορας εὐξυλοεργούς,

μοιχατάταιμοιρίοντες Mscr. t. Gr. μοιχαπάται μοιρόεντες. LH. Nos: μοιχευταὶ μυρόεντες.

306. „τελοῦντας Holst.“ Mrg. sed linenla per v. τελ. ducta est.

309. „δ' ἀν script.“ Mrg.

311. παντιαθέας LH. στομάτεσσι Mscr. t. Gr. et sic LH. ὀποιομένους LH. „ὀποιομ. script.“ Mrg. γεγολιῶτα; Gr. γονοτῶτας LH. et ita Schneider in lexico, ut videtur, ex coniectura.

312. μασθον (sic) LH. „μαστὸν Mscr. et Holst.“ Mrg.

313. „ἑτερο Mscr. et Holst.“ Mrg. sed lineola transversa per vocem ducta est.

314. Etiam hoc loco αἰσχροκερδεῖς scribendum censemus.

316. ἀπόφωλα βίου Gr. et LH. φωλαμίου Holst t. Mrg. Fortasse ἀποφώλια (per syniz). Mihi aliquando etiam placuit ἀπόβωμα. Rigl.

317. Ego aliquando conieci φαίνουσαν Axt.

318. Post λαμπάζῃ distinxi, cum nec in Gronov. exemplo nec in libro Halensi ulla esset distinctio. Rigl.

319. Fortasse σὺν ἑοῖσι διωγμοῖς. Axt.

320. „Fort. δορυεργ“ Mrg.

322. „θηλυλαΐους Mscr.“ Mrg. ῥαπτούς τε Gr. ῥάπους τε LH. ῥαπτοῦ τε Gron. (in annott.) Ego malim ῥάποιο. Axt. ἴδριας Gr. ἴδριας LH.

323. ἠδ' LH.

324. καγκανεῖς Gr. et Mscr. t. Mrg. κασκανεῖς LH.

λαοτόμους τε πέτρης σκληρώδεος ἐγρεσιοίκους,
ἠδὲ λιθοψώκτῳ καμάτῳ βίον ἰθύνοντας.
Τούτοις δ' Ἑρμάων ἐπὶ τέρμονας ἠνίκ' ἂν ἔλθῃ
οἰκείως εὔσχημον ἔχων φάος Ἄρεος ἄστρῳ,
πρηκτῆρας δείκνυσι, τελωνητάς τε βιαίους
φύσεσθαι, δεινούς τε χρεάρπαγας, ἐργολάβους τε,
ἔνθεν ἐπήρειαί τε καὶ ἐκδύσιες τελέθουσιν,
ψευδοκατηγορίαι τε κατηγορίης τε τεχνασμοί.
μαρμαρυγὴν δ' ἀκτῖνος ὅτ' ἂν σελαηφόρος Ἑρμῆς
ἀμφὶ Σεληναίης σκολιὸν λαβύρινθον ὀρίνῃ,
ἠὲ πέσῃ κατὰ ταὐτὸν ἐπ' αὐταῖς λαμπάσι Μήνης
δωδεκατημορίων ἀντώπια φέγγεα κόσμου,
ἀγραυλοὺς δείκνυσι κυνηγητῆρας ἔσεσθαι,
ἄρκυσι καὶ σταλίκεσσιν εὐσταθέεσσι μέλοντας,
αἰθροτόκου τε γονῆς ἐπιβήτορας ἰξευτῆρας,
ἐνδεέας τε τίθησι τροφῆς κάμνοντας ἐπ' ἔργοις·
ἢν δὲ καὶ οἰκείων ὁρίων ψαύσωσιν ἅμ' ἄμφω,
ὑλογράφους ἄνδρας, κηραγγέας, ὁλκαδοχρίστας,
ζωοτυπούς, μακάρων ἀποπλάστορας, εἰκονομόρφους
θήσονται, μεθόδῳ τε λινοστολίης προφέροντας·

325. λαοτόμου τε Gr. et LH. Nos: λαοτόμους τε — ἐγρεσιδόμους Gr. et LH. ἐγρεσιοίκους Spitzner de v. her. p. 223.

327. „ἐπιτερμ. — ἂν script." Mrg.

329. τελωνήτας Gr. et LH.

331. ἐπήρειαι Gr. ἐπηρειαί LH. ἐπήρειαι. Axt.

333. μαρμαρυγή Gr. et sic script. t. Mrg. „-γῆ Holst." Mrg. -γαῖ LH. ὅταν LH. ἀκτῖν' Gr. (sed vertit radii) et LH. μαρμαρυγῇ δ' ἀκτῖνες Dorvill. p. 659. σελαηφόρος Ἑρμῆς Gr. et LH. -φόρου Ἑρμοῦ Dorvill. l. l. Ego: μαρμαρυγὴν δ' ἀκτῖνος ὅτ' ἂν σελ. Ἑρμῆς et sequenti versu ἀμφὶ Σεληναίης σκολ. λαβ. ὀρίνῃ. Rigl. Ceterum reposuimus σελαηφόρος.

334. σεληναίῃ Gr. σεληναίη LH. „scribe σεληναίην" Mrg. „script. ὀρίνῃ" Mrg.

335. ἐπ' αὐταῖς Gr. et LH. „fort. ὑπ' αὐταῖς Mrg. Pro πέσῃ legendum censet πέλῃ Dorvill. p. 660.

336. ἀντωπέα Gr. „script. ἀντώπεα" Mrg. de accentu incertus est Dorvill. l. l. et p. 637. ἀντώπια LH.

340. Pro ἔργοις legendum ἀργοῖς censet Dorvill. nec tamen alteram scripturam damnet. p. 648.

342. „ὁλκ. script. ὁλκαδοχίστας Holst." Mrg. sed syllabae χιστας lineola transfixae sunt.

343. ζωοτύπης μακάρων Gr. et LH. retinet Dorvill. p. 296. Nos virgula ante v. μακάρων posita ζωοτύπους scripsimus.

344. θήσοντ' ἢ μεθόδων τε λινοστολίῃ Gr. „θήσοντ' ἢ script." Mrg. θήσονται, μεθ. λιν. LH. Ego μεθόδῳ. Rigl.

πευκῆέν τε λίπασμα συνασκοῦντες σὺν ἐλαίῳ
μόχθον πισσήεντα πονήσονται παλάμῃσιν.
Ἀκτὶς δ' αἰγλήεσσα Σεληναίης Ἀφροδίτην
φωτὶ νέῳ βάλλουσα καὶ Ἄρεϊ μαρτυρέουσα,
ἀλλοτρίων θαλάμων φαίνει ληΐστορας ἄνδρας
ἔσσεσθαι, μοιχευτὰ λέχη μελάθροισιν ἔχοντας.
Θῆλυ δ' ἐὸν τὸ πεφυκὸς ἐν ἤματι τοῦδε σελασμοῦ
πάγκοινον κέρδος θηρήσεται ἀνδράσι μιχθὲν,
ἔκ τε χαμαιτυπίης ἕξει βίον εὔπορον αἰεί.
Ἑρμείου δ' ἀκτῖνες ἐπὴν Κρόνον ἀκροβολῶσιν,
Ἀρεά τ' ἐγρεκύδοιμον, ἐπὴν ἐφορῶσί γε τοῦτον,
ἠὲ Διωναίης Κύπριδος θοὸν ἀστέρα βάλλῃ,
τηνίκα δὴ μαχλάδας τεύχει τ' ἀστεῖα φυείσας
πόρνας τε τριβάδας τ' ἀνδρόστροφα ἔργα τελούσας.
Ἢν δ' ἰσόμοιρα φανῇ Κυθερηΐας Ἑρμάωνι,
ἄνδρεσσι ξείνοισι καὶ ἀλλοδαποῖσι μιγεῖσαι
δεσποτίδες μεγάλων τε βίων μελάθρων τε φανοῦνται.
Τὸν συνετὸν κατιδὼν διὰ τετράδος ὄβριμος Ἄρης
οὐκ ἀγαθὸν τελέσει, βλαβερὸν δ' ἐπὶ πᾶσιν ὁρίζει,
σκυλμοὺς ὑπνοφανεῖς, φαντάσματά τ' ἠδ' ἐπαγωγάς·

345. λέπασμα Gr. λήπασμα Mscr. t. Gr. et Mrg. λίπασμα LH. et Dorvill. 660. συνασκοῦντας Gr. -τες LH.

351. θῆλυ δ' ἐπὴν Gr. „δ' ἐπ' ἦν script." Mrg. θῆλυ δὲ ὂν LH. Nos inde correximus θῆλυ δ' ἐόν.

352. πάνκοινον Gr. παγκ. LH. θηράσσεται Gr. et LH.

353. „ἔμπορον Holst." Mrg. sed vox lineola transfixa est.

355. „ἐπ' ἦν script." Mrg. — ἐφορῶσι τε Gr. et LH. Pro τε reposuimus γε. Fortasse malit quispiam ἐφορῶσ' ἐπὶ τοῦτον Axt.

357. τηνίκα δὴ μαχλάδας τεύχει τ' ἀστεῖα φυείσας. Gr. τασττοιαφυείσας Mscr. t. Gr. τασττοῖα etiam LH. sed in margine „scribe τ' ἀστεῖα. — τεύχει τ' ἀστεῖα φυείσας tuetur Dorvill. p. 660. τηνίκα δὴ τεύχει μαχλάδας τ' ἀστεῖα φρονούσας. Herm. ad Orph. p. 716. Mihi aliquando in mentem venit πασχητιώσας. Rigl.

358. πόρνας καὶ τριβάδας ἀνδρόστροφα ἔργα Gr. et LH. πόρνας τε τριβάδας τ' Herm. l. l. „ἀνδρόστροφα vereor ut sanum sit." Idem. Schneid. in lexic. coni. ἀνδρότροπα. Nos coni. τριβάδας θ', αἳ ἀνάστροφα ἔργα τελοῦσιν. Aliquando cogitavi αὐτοφθόρα. Axt.

360. „ἀλλοδαπῇσι Holst." Mrg.

361. βιῶν LH.

363. τελέσσει Mscr. t. Gr. Fortasse ἀγαθὸς τελέθει. Axt. ὁρίζου Gr. et sic scriptum t. Mrg. ὁρίζει LH. ὁρίζου etiam Dorvill. p. 645.

καὶ διεγείρονται νεκύων θάμβησιν ἔχοντες.
Αἰθαλόεις δ' ἀστὴρ Ἄρεως ἀκτῖσι Σελήνην
φεγγοβολῶν ἰσόμοιρα κατ' Οὐλύμποιο κέλευθα
ἀκροτάτοις κέντροισι, πρὸς ἔχθεσιν ἢ ἀτίθηνον
θηλυτόκων βρεφέων τε καὶ ἀῤῥενικῶν βίον ἕλκει,
οὐ μὴν ἐς θάνατόν γε πορεύσεται ἔχθεσις ἠδὲ
ἀρνυμέναις δὲ γυναιξὶ τροφοῖς ὑποβάλλετ' ὀθνείαις·
κῆν μὲν ἐπισκοπέῃ γενέθλην Κρόνος, ἐς ζυγὸν ἥξει
λατρείης πονόεντα· Διὸς δ' ἐπιδερκομένοιο,
ἦμαρ ἐλευθερίης ἕξει ποιητὸς ὀθνείων,
συληθεὶς γονέων, οὐ γνήσιος ἐν μεγάροισιν
σύν τε διωνυμίῃ τε καὶ ἐν διπολήϊδι φήμῃ
ζήσεται ἀλλοτρίων γονέων, οὐχ ὧνπερ ἔβλαστεν,
χρήματι καὶ στοργαῖς καὶ παιδοσύνῃσιν ὀθνείων.
Αὐτὰρ ἐπὴν γε Κρόνος Μήνῃ ἰσόμοιρος ὑπάρχῃ
ἢ διάμετρα φανῇ πλαγκτῷ κόσμοιο πορείῃ,
πάμπαν ἐς ἐκθεσίην βρεφέων γένος ἔσται ἐκείνων,
ὧν γένεσις πρὸς μητρὸς ἐλέγχεται ἀνδράσι δούλη,
ἐκ γενέτου δὲ πέφυκεν ἐλεύθερα δεσποσυνάων.
Ἢν δὲ Κύπρις τούτοις προσμαρτυρέουσα γένηται,
ἥσσονες ἐκ πατέρων μητρὸς τελέθουσι λοχεῖαι.

368. πρὸς ἔχθεσιν Mscr. t. Gr.

369. ἀῤῥεγόνων Gr. et LH. ἀῤῥεγ. retinet Dorvill. p. 279. Nos ἀῤῥενικῶν correximus.

373. λατρίης πονέοντα Gr. „λατρίης Mscr.“ Mrg. λατρείης LH. et sic Dorvill. p. 446. πονέοντα; etiam LH. πονόεντα Dorvill. l. l.

374. ἦμαρ Gr. ἦμαρ LH. ἐλευθέριον Gr. et LH. ἦμαρ ἐλεύθερον ἕξει ἀνὴρ ποιητὸς ὀθνείων Herm. ad Orph. p. 716. ἐλευθερίης. Axt.

375. „fort. γνησίοις“ Mrg.

376. ἐνδιπολήϊδι LH.

378. χρηματίαι στοργαῖς Gr. „χρηματίαιστοργαῖς script.“ Mrg. χρηματιεῖς στοργαῖς LH. χρήμασι καὶ στοργαῖς Dorvill. p. 279.

379. μήνης Gr. et LH. μήνῃ corr. Rigl.

380. διὰ μέτρα Gr. διάμετρα LH. et sic Dorvill. p. 654. πορείῃ Gr. et LH. πορίῃ Mscr. t. Gr. et Mrg. πλαγκτοῦ Gr. et LH. πλαγκτῷ. Rigl.

381. ἐκθεσίην Gron. ex coniect. (vide annott.) ἐχθεσίην Mscr. t. Gr. et sic LH. ἔσσεται κείνων Gr. et LH. „ἔσσετ' ἐκείνων Mscr. et Holst.“ Mrg. „superscr. ἔσσετ' ἐκείνων“ Gr. Nos corr. ἔσται ἐκείνων.

382. Pro ὧν aliquando conieci οἷς. Axt.

383. καὶ Gr. et LH. ἐκ. Axt. ἐλευθέρα Gr. et LH. ἐλεύθερα l. c. ἐλευθερίως Dorvill. p. 660. sic etiam nos, sed iungentes cum v. βρέφῃ.

385. ἢ πατέρων Gr. et LH. τελέουσι Gr. et LH. ἥσσονας ὧν πατέρων vel potius

Ἦμος δ' Ἑρμείας Ζηνὸς φαέεσσ' ἰσόμοιρον
ὁρμήσῃ, τῆμος μὲν ὁ φυόμενος τότε θνητῶν
σεμνοτάτων γονέων ὀφθήσεται, ᾧ πατρὶ μήτηρ
παρθένος εἰς θαλάμους ζευχθήσεται ἀνδρὸς ἄπειρος,
ἔσται δ' ἐν γενέθλῃσι φάος σπανάδελφον ἐςαθρεῖν.
Σχῆμα δ' Ἄρης ἐπὶ τοῖσιν ὅτ' ἂν πυριμάρμαρος ἀστὴρ
Κύπριδι συννεύσῃ ἔτι καὶ Κρόνου εἰσορόωντος,
ἢ μετὰ χηρείην μήτηρ πατρὶ τοῦδε συνήξει,
ἢ διὰ μοιχοσύνην δολοεργέα νυμφευθεῖσα.
Ἥλιος δὲ Κρόνοιο καὶ Ἄρεος ἀστέρας ἀθρῶν
ἀκτινηβολίῃσι φαεσφόρου Οὐλύμποιο,
ναυσιβάτας φαίνει καὶ ἐν ὕδασι νήκτορας ἄνδρας
ἔσσεσθαι, σκαφέων τε κυβερνητῆρας ἀΰπνους,
πρωτάρχας τε νεῶν, οἳ πολλάκι ναυφθορίῃσιν
χείματος ὀρνυμένου βίοτον λείψουσι δι' ἅλμης,
νηχόμενοι Μοίρης βαιὸν χρόνον ἐν πελάγεσσιν.
Παμφαίνων δ' ἀστὴρ ὁπότ' ἂν πολιοῖο Κρόνοιο
Ἠελίου σελάεσσιν ἀν' οὐρανὸν ᾖ ἰσόμοιρος,
τηνίκα φυομένων βρεφέων γεννήτορα πρῶτον
μητέρος εἰς ἀΐδην πέμψει νεκυοστόλος Αἶσα,
κτήματά τ' ἐξολέσει πατρώϊα καὶ πολὺν ὄλβον,
καὶ δὲ κασιγνήτων θανάτους ὁρόωσι προόντων,

ἥσσονες ἐκ πατέρων μητρὸς τελέθουσι λοχεῖαι Dorvill. p. 660. Fortasse ἥσσονας ἢ πατέρων μητρὸς τελέουσιν λοχείας.

386. ἦμος Gr. ἦμος LH. φάος ᾖ Gr. et LH. φαέεσσ' ἰσομ. Dorvill. p. 661.

388. Pro ᾧ fortasse οὗ.

390. ἔσσεται Gr. et LH. ἔσται. Axt. γενέθλαισι Gr. et LH. „In Mscr. haec sunt ab manu secunda, quae erasis antiquioribus haec inscripsit“ Gr. παράδελφον LH. sed in mrg. „scr. σπανάδελφ. — ἐςαθρῶν etiam LH. „scribe ἐςαθρεῖν“ Mrg.

393. „μεταχηρει script.“ Mrg.

394. „διαμοιχ. script.“ Mrg.

396. „ἀκτινιβολ. Mscr.“ Mrg.

397. ὕδασιν ἤκτορας Gr. (in corrig. ὕδασι νήκτορας) et sic script. t. Mrg. ὕδασι νήκτορας LH. et Gr. (in annott.) et Dorvill. p. 336.

398. σκαφέων κυβερν. Gr. et LH. Addidimus τε.

399. ναυφθορίαισιν Gr. et LH. „scribe ναυφθορέουσιν“ Mrg.

400. „scribe λήψουσι“ Mrg.

401. Fortasse Μοίρῃ vel Μοίραις. Axt.

402. πολίοιο Gr. πολιοῖο LH.

403. „οὔρανον script.“ Mrg.

404. „φυόμενον script.“ Mrg.

405. μητέρας Mscr. t. Gr. „μητέρας script. sed μητέρος Mscr. et Holst.“ Mrg.

πλοῦτον δ' ἐκ θανάτων πολλῶν μέγαν αὐχήσουσιν·
ἢν δὲ Σεληναίης ἀκτὶς ἰσόμοιρα πελάζῃ
φωτὶ Κρόνου, μάρτυς δ' ἐπὶ σήματι τῷδε γένηται
καὶ Πυρόεις, μήτηρ προτέρη πατρὸς ἵξετ' ἐς ᾅδην,
ἠὲ μογοστοκίῃ δεδαϊγμένη, ἢ διὰ νούσου·
ἀμβλωσμοῖς δὲ γυναιξὶ Κύπρις κρύφιμ' ἄλγε' ἔδωκεν.
Ζεὺς δ' ὅτ' ἂν Ἑρμείην τε καὶ ἱμερτὴν Ἀφροδίτην
ἀκτῖσιν φαέεσσι βάλῃ λαμπραυγέσι κόσμου,
αὐτοκασιγνήτας ῥέξει κείνοισι βροτοῖσιν
νύμφας συγγενικάς τε, λοχεύονται δ' ἀπὸ τούτων
ἄνδρες παιδείης ἡγήτορες, ἔν τε καθέδραις
γραμματικαῖς δήμοιο βίον διαποιμαίνοντες.
Ἥλιος δ' ἀκάμας ὁπότ' ἂν Κύπριν Ἄρεϊ κοινῶς
ἀκτινηβολίῃσι πυριβλήτοισι καταθρῇ,
γνάπτορας εὐσήμων πέπλων, καὶ τεύκτορας αὐτῶν
ἱστοπόνους ἔσσεσθαι, ἰδ' ἡγητῆρας ἀρίστους
πρηκτῆράς τ' ἀγεληδὸν ἀλωομένους διαπαντός.
Ἑρμάων δ' ὁπότ' ἂν Δία καὶ Κρόνον ἀγκυλομήτην
ἀκτῖσιν, στίλβουσι φλογὸς λαμπτῆρσι, πελάζῃ,
νηοπόλους ἱερῆας, ἰδὲ ζακόρους θεολήπτους,
γραμματέας, τεμενῶν τε προφήτορας ἄνδρας ἄϋτεῖ
μυστιπόλους, ἱερῶν τε προϊσταμένους στεφανηδὸν
ἔσσεσθαι σηκῶν τε νεωκορίῃσι μέλοντας.

408. αὐχήσωσιν Gr. et Macr. t. Mrg. „script. αὐξήσωσι" Mrg. αὐξήσουσι LH. αὐχήσουσιν Dorvill. p. 661.

410. σχήματι coni. Dorvill. p. 481 et 677.

411. αἴδην Gr. ἀΐδην LH. Nos ᾅδην.

412. ἀμβλώσσοις δ' ἃ γυναιξὶ Gr. (sed vertit *abortientibus*.) ἀμβλώσσους δ' ἀγυναιξὶ Macr. t. Gr. item LH. Equidem conieci ἀμβλωσμοῖς δὲ Rigler. — Fortasse ἀμβλούσαις θ' ἃ γυναιξί.

415. ἀκτῖσι φαέθουσι Gr. ἀκτῖσιν φαεθ. LH. ἀκτῖσιν φαιδρῇσι Axt. Fortasse ἀκτῖσιν φαέεσσι βάλῃ Rigler. λαπραυγέσι LH.

418. παιδίης Gr. et Macr. t. Mrg. παιδείης LH.

419. διαποιμένοντες Macr. t. Gr. et Mrg.

421. ἀκτινοβολ. LH.

422. Fortasse εὐνήτων πέπλων.

425. „ὁπόταν Holst. διὰ script." Mrg.

426. στίλβουσιν Macr. t. Gr. et sic LH.

427. θεοσέπτους Gr et LH. Nos θεολήπτους.

428. τεμένων Gr. τεμενῶν LH. ἄϋτει Gron. et sic script t. Mrg. — ἀΰτεῖ LH. „post hunc versum inseratur v. 441." Mrg.

430. Hunc versum, qui est apud Gron. 441. huc transposuimus.

Ὁππότε δ' ἂν Κυθέρειαν ἐν ἀκτίνεσσι βολαυγῆ,
Ἄρεα τ' αὖ πυρόεντα βραδὺς Κρόνος, οἱ τότε φύντες
γειοπόνοι ζήσουσι φυτοσπορίας ἀγαπῶντες
ὀθνείης χώρης τε καὶ οἰκείης διαπαντός·
λήψονται δὲ λέχη δίχα γράμματος, οὐχὶ νόμοισιν,
ἐκ μετεωροσύνης δὲ συναντήσαντες ὁμεύνοις.
Κύπριν δ' ἀφρογένειαν ἑλιξοπόρον τε Σελήνην
πυρσοβόλοις ἀκτῖσι βαλὼν τευχεσφόρος Ἄρης,
μηχανικοὺς τεύχει τε καὶ ὀργανοπήκτορας ἄνδρας,
τεκτοσύνης τ' ἄρχοντας, ἰδ' αὐτοδίδακτα τέχνῃσιν
θαύματα δαιδάλλοντας, ἐν ἀλκήεντί τε θυμῷ
ἐργοπόνους παλάμῃσι καὶ ἀδροτάτους καὶ ἀρίστους
ἀχθοφόρους, καμάτων τε πόνους εἰς τέρψιν ἄγοντας.
Τούτοις δ' Ἑρμείας φαύλοις σὺν σχήμασιν ὀφθεὶς
μυθολόγους τεύχει τε καὶ αἰσχρεορήμονας ἄνδρας,
μωρολόγους, χλεύης θ' ἡγήτορας, ὑβριγέλωτας,
ἔν τ' ἀρεταλογίῃ μυθεύματα ποικίλ' ἔχοντας,
ψηφάκων παίκτας τε καὶ ἐξ ὄχλοιο πορισμῶν
βομβηδὸν ζώοντας, ἀλήμονας ἧς χθονὸς αἰεί.
Ἣν δὲ Κύπρις Μήνη τε σὺν Ἠελίῳ τε καὶ Ἑρμῇ
μάρτυρες ἀλλήλων μέσον οὐρανὸν ἀμφιπολῶσιν,
ἣν μὲν ζωϊδίοισι διμορφώτοισι πέλωνται,
Ἰχθύσιν ἢ Διδύμοισι συνωρίζουσι κατ' αἴθρην
Τοξότεω κατὰ κύκλον ἢ ἐς σταχυηφόρον ἁγνὴν

432. οἳ τότε Gr. οἱ τότε LH.

433. ζήσωσι Gr. et LH. ζήσουσι Dorvill. p. 661.

438. ἀκτίσι Gr. ἀκτῖσι LH.

442. ἀνδροτάτους Gr. et LH. ἀδροτάτους Dorvill. p. 332 et 661.

445. μυθολόγ. LH. Etiam hoc loco videtur scribendum esset αἰσχριορήμονας. (vd. annot. ad v. 57.) τε post καὶ addidi Rigl.

448. ψηφάων Gr. et LH. ψηφάκων Rigl. πέκτας Mscr. t. Gr. et LH. παίκτας restit. Gron. et secundum eum Dorvill. p. 618.

449. Aliquando coniecimus ῥομβηδόν.

451. „οὔρανον script." Mrg.

452. πέλονται Gr. et LH. Nos emendavimus πέλωνται.

453. κατ' αἴθρῃ Gr. et sic script. t. Mrg. αἴθρην LH. κατ' αἴθρης vel κατ' αἴθρην corr. Dorvill. p. 374.

454. τοξέτεω LH. ἢ ἐς Gr. ἠὲ LH. ταχυηφόρον Mscr. t. Gr. „ἁγνὴν script." Mrg.

Παρθενικήν, τῆμος διδυμάτοκα φύσεται ἀνδρῶν
σώματα, καὶ τριδύμων παίδων θαυμαστὰ γένεθλα.
Κἢν μὲν Ζηνὶ Κύπρις κατὰ φῶς ἰσόμοιρον ἐνεχθῇ,
ἄῤῥενες ἔσσονται δισσοὶ γένει, ἄμμιγα δ' αὐτοῖς
κούρη ἀπ' ὠδίνων τεχθήσεται ἐσχατόωσα·
Οὐρανίδου δὲ Κρόνοιο θεωροσύνην ἐπέχοντος,
θηλυγενὴς διδύμων ἔσται τόκος ἄρσενος ἐκτός·
ἐν κακοδαιμοσύνῃ δ' Ἄρεος, κατεναντία Μήνης
μαρμαρυγὰς φαίνοντος, ὃ τικτόμενος τότε θνητῶν
σῶμα περισσομελὴς τεχθήσεται, ἔκμετρα γυῖα
πὰρ φύσιν ἡμερίην δεικνὺς μερόπεσσιν ἀθρῆσαι.
Ὁππότε δ' εἶν ἀγαθοῖσι τόποις στείχωσι κατ' αἴθρην
Ἄρης πυρσοτόκος θ' εἱλιξόπορός τε Σελήνη,
τεύχουσιν σοβαροὺς πολυΐστορας ἄνδρας ὑπὲρ γῆν,
ἡγεμόνων φιλίῃσι γεγηθότας, ἀμφὶ δὲ κόσμῳ
πουλυπλανεῖς ξενίῃσιν ἀχρήϊα λήματ' ἔχοντας,
καὶ πάσης στρατιῆς ἐπιβήτορας ἐν προκοπῇσιν·
ἢν δὲ Κρόνου βλαβεραυγὲς ἐς αἰθέρα φέγγος ἀθρήσῃ,
δισσὰ δ' ἐναντίον ἄστρα φανῇ σελαγίσματα τῶνδε,
τῆμος ὅσοις γενεὴ μεροπήϊος ἄρχεται ἀνδρῶν,
ἐν κακοδαιμοσύνῃ καματώδεϊ πᾶσα βιώσει
νουσομελεῖς τεύχουσα βροτούς, ὀδύνῃσι συνήθεις,

455. *δίδυμα τοκετὰ φύσετ'* Gr. *διδυμα τοκιτα φύσετ'* Macr. t. Gr. et sic LH. *διδυματόκα φύσεται* Dorvill. p. 336 et 374.

458. *γένει δ'* LH.

460. *οὐρανίου* Gr. et LH. *οὐρανίδου* Dorvill. p. 661.

461. *θηλογενὴς* LH.

462. *κατ' ἐναντία* Gr. *κατεναντία* LH.

467. *πυρσοτόκος ἰδ' ἑλιξοπόρος* Gr. et LH. tuetur illud Dorvill. p. 309 et 672. *πυρσοβόλος* Axt. Nos *πυρσοτόκος θ' εἱλιξόπ.* emendavimus.

468. *σωβαροὺς* Macr. t. Gr. et sic LH. *ὑπὲρ γῆν* Gr. commate post *ἄνδρας* posito *ὑπὲρ γῆν* LH.

470. *λῆμματ'* Gr. et sic Macr. et Hols. t. Mrg. *λήματ'* LH. et Dorvill. p. 252.

472. *εἰς* Macr. t. Gr. „fort. *ἐς ἄρεα*" Mrg.

473. *ἄστρα φανῇ* Gr. et LH. *βάλῃ* vel *ἄστρα φανῇ σελαγίσμασι.* Axt. Fortasse: *δισσὰ δ' ἔναντα φανῇ ἄστρων σελαγίσματα τῶνδε.* Rigl.

474. *μεροπήϊας* Gr. et LH. *μεροπήϊος* Rigl.

475. *βιώσει* Gr. et LH. Mihi in mentem venit *πᾶσα βίωσι;* Rigl. Fortasse *διοίσει* Axt.

476. „*συνήθης* Macr." Mrg.

κινδύνων βλαβερῶν τε δυσεκφεύκτων τε παρέδρους.
Μήνη δ' ἀμφίκερως σκολιόδρομος ἡνίκ' ἂν ὀφθῇ
Ἄρεος εἰς τετράγωνα πόλου λοξεύματα βᾶσα,
ἢν δ' ἐπὶ δυομένῳ κατὰ γῆς ἀπὸ τέρμονος αἴθρης
Στίλβων ἀμφ' αὐτοῖς ἢ καὶ διάμετρος ὁραθῇ
ζωϊδίῳ κόσμοιο, κακοὺς ληΐστορας ἄνδρας
ἐκφύσει, θυρέτρων ἐπανοίκτορας ὀθνειάων,
κλεπτῆρας φαύλους, νυκτοπλανέας τε λαθραίους·
οὗτοι φωρηθέντες ἐν ἀλλοτρίοισι μελάθροις,
εἱρκτὰς οἰκήσουσι φυλασσόμενοι ἀλυσηδὸν,
ἔν τε βιαιοτάτῳ θανάτῳ βίον ἐκλείψουσιν,
ἢ φοβεροῖς ξίφεσιν δεδαϊγμένοι ἢ πελέκεσσιν,
ἢ βρόχον ἀλγινόεντα δι' αὐχένος ἐκδήσαντες
πνεῦμα πικρὸν λείψουσι πικρῆς μοίρης ὑπ' ἀνάγκῃ.
Κύπρις δ' ἀφρογένεια βροτῶν ὡροσκόπα φέγγη
δερκομένη, θήσει μὲν ἐν εἰλαπίναις φιλομούσους,
ἡδυπότας, θιάσων κωμάστορας, ἔκ τε γυναικῶν
ὀθνείων στοργῇσι κεκασμένα φίλτρα φέροντας,
μοιχείας τ' ἀγαπῶντας, ἐν αἷς ὕβρις, οὐ Κύπρις ἄρχει·
Ζεὺς δ' ὁπότ' ἂν φαέθων ὡροσκόπον ὄμμα τιταίνῃ
εὐμόρφους τε τίθησι καὶ εὐτυχέας καὶ ἐπόλβους,

477. κινδύνων Gr. κινδύνων LH. et sic Dorvill. p. 336.

480. ἐπιδυομένῳ Gr. et LH. sed in margine „scribe ἢν δ' ἐπὶ δυομένω — ἀπὸ τ.“ ἐπὶ δυομένῳ etiam Dorvill. p. 336.

481. Στίλβων δ' Mscr. t. Gr. (in annott.) et LH. αὐτοῖσι καὶ Gr. et LH. sed in mrg. „scribe αὐτοῖς ἢ et sic correxit Dorvill. p. 345 et 336.

483. θυρετρῶν LH. ἐπαινύκτορας Gr. et LH. „ἐπανοίκτο Holst.“ Mrg. ὀθνειάων Gr. et Mscr. t. Mrg. ὀθνειάων LH.

485. φωραθέντες Gr. et LH. — Post hunc versum legitur in LH. „εἰς συνοχὰς ἥξουσι σιδηρόεντά τε δεσμὰ et in margine „hic versus deerat in apographo, sed ex libro I. restituendus fuit.“

486. „εἱρκτὰς“ Mrg. δ' Gr. et LH. id nos delevimus. οἰκήσωσι Gr. et sic script. t. Mrg. οἰκήσουσι LH. et sic Dorvill. p. 661. ἀλυσηδὸν Gr. et sic script. t. Mrg. ἀλυσ. LH.

488. ξίφεσι Gr. ξίφεσσι LH.

492. ἐπὶ λαπιν script. t. Gr. (in annott.) et Mrg.

493. θιασῶν LH. „forte θιάσων“ Mrg. ἔκ τε Gr. et sic script. t. Mrg. ἐκ δὲ LH.

494. στοργαῖσι Gr. et LH. κεκασμένα Gr. κεκαυμένα LH.

496. ὁπόταν Gr. ὁπότ' ἂν LH. Φαέθων Gr. sed vertit: *splendens.*)

ἐν τ' ἀρχαῖς πλειστῆσι πάτρης τὰ βέβαια φρονοῦντας.
Τούτῳ δ' εὖτ' ἂν Ἄρης μίγδην ἱκέλησι πορείαις
σχηματίσῃ κατὰ κόσμον, ἰχνοβλαβέας, φθινοκώλους,
νευρονόσους, ποδαγρούς, ἀχθήμονας ἄνδρας αὖτεῖ
ἔσσεσθαι, καταμικρὰ νεκρούμενα δάκτυλ' ἔχοντας·
θηλυγενεῖς δὲ γυναῖκες, ἐπὴν Κρόνος ὡρονομήσῃ,
φύσονται λαμπραί, βαθυχρήμονες, ὀλβομέλαθρον,
ἀξιοπιστοσύνῃ μεμελημένα, ἀλλὰ πρὸς ἄνδρας
παγκοίνως ζήσουσιν ἐπίψογα νύκτας ἄγουσαι
ἀλλοτρίοις θαλάμοις, κέρδει βίον ἰθύνουσαι.
Ἠέλιος δ' ἀκάμας, πυρόειν σέλας, ἡνίκ' ἂν ἔλθῃ
ἀρσενικοῖς ζώοισι κατ' αἰθέρος ἠερόπλαγκτον
ζωφορίην, θήλεια δ' ἔχῃ νεολαμπέα Μήνην,
τῆμος ὅσοι φύσονται, ἐν ἀνθρώποισι κράτιστοι
ἄνδρες, ἀριστοπονῆες, ἐλεύθερα λήματ' ἔχοντες,
εὔσημοι γενεήν, ἀγαθοὶ φύσιν, ἀξιόμορφοι,
δοξοφόροι, πάτρης κηδέστορες, ἠδὲ βίαιοι.
Ἢν δέ τ' ἐναλλάξωσι Σεληναίη μὲν ἐπ' ἄῤῥεν,
Ἠέλιος δ' ἐπὶ θῆλυ πολυζώοισιν ἐπ' ἄστροις,
νωχελέες τε πέλουσι, καὶ ἄπρηκτοι καὶ ἄτολμοι,
πηρώσει ψυχῆς νενεφωμένα βουλεύοντες·
αὐτὰρ ἐπὴν ἐς θῆλυ καταντήσουσιν ἰόντες
ἀμφότεροι, Μήνης τετελεσμένα τερμοδρομούσης,

498. πλείστεισι Mscr. t. Mrg. τ' ἀβέβαια Mscr. t. Gr. et sic LH. sed in mrg. „scribe τὰ βέβαια.

499. ἰκέλησι Gr. ἰκέλησι LH.

501. αὔτει Gr. et LH. αὔτεῖ Dorvill. p. 263.

502. κατὰ μικρά Gr. et LH. „scribe καὶ μικρὰ" Mrg.

504. „ἐπ' ἢν script." Mrg.

506. ζήσωσιν LH.

507. ἀλλοτρίους θαλάμους Gr. et LH. ἀλλοτρίου θαλάμου Dorvill. p. 555. Nos -τρίοις θαλάμοις. — βίου Gr. βίον LH. et sic Dorvill l. l.

509. ζώοισι Gr. ζώοισιν LH. sed. litt. ν inducta est. ἱερόπλαγκτον Gr. et LH. ἠερόπλ. Dorvill. p. 361.

510. θήλεια Gr. et LH. θηλεῖα Dorvill. l. l. μήνη Gr. et LH. μήνην Dorvill. l. l.

513. εὔσημοι γενεήντ', ἀγαθοὶ φύσιν, ἀξιομ. Gr. εὔσημοι, γενεήντ' ἀγαθ. φύσιν ἀξιομ. LH. τ' delevimus.

514. βίαιοι Gr. et LH. βέβαιοι Dorvill. p. 315 et 649. Ego δίκαιοι Axt.

519. „αὔταρ script." Mrg. ἐς θῆλου LH. „καταντήσωσιν Mscr. et Holst." Mrg.

πουλυπλανεῖς, ξενίης ἐπιβήτορας ἄνδρας ἔσεσθαι
αὐδῶσιν, χαίροντας ἀεὶ μεταβλήμασι χώρης,
καὶ πόλιος σπουδαῖα πρὸς ὀθνείους φορέοντας,
ἤθεα καὶ τιμὴν μεμετρημένα πράγματ' ἔχοντας,
εἰς ἰδίην δὲ πάτρην ψογερὸν βίον ἰθύνοντας,
οἰκείων ἔργων ἐπιλήσμονας, οὐχὶ θυραίων·
ὁππότε δ' ἀρσενικοῖς δισσοὶ μέγα φεγγοβολῶσιν
ζωϊδίοις κατὰ χῶρον ἀνάστερον, οἳ τότ' ἔσονται,
τολμηροί, θρασύθυμα μεμηνότες, ἐχθροὶ ἑταίρων,
πιστοτάτης φιλίης λυμάντορες, ἀκριτόβουλοι,
οὐ μίαν εἰς ἀτραπὸν βιότου νόον ἐκνεύοντες,
ἄλλοτε δ' ἀλλοίην ζωὴν εὔτρεπτον ἔχοντες,
πρήξιας ἀλλάσσοντες ἀεὶ μεθόδους τε πορισμῶν,
ἔκ τ' ἐνύδρων μόχθων τε καὶ ἐκ παράλοιο διαίτης
δώματα ποιμαίνουσι καὶ ἐκ λιμένων τελέουσιν
δημοσίων γε λόγων ἐμπείραμον ἦθος ἔχοντες.
Μήνης δ' Ἠελίῳ σύνοδον κατὰ κόσμον ἐχούσης
ζωϊδίῳ δύνοντι, βροτῶν γένος ἔσται ἀμυδρὸν,
ἢ καὶ λυσσαλέῃ μανίῃ δεδαμασμένον αἰεί,
φαρμακτόν, νοσόθυμον, ἀεὶ θανάτοιο πάρεδρον·
πᾶσα βροτῶν γὰρ ψυχή, ἐπὴν τά γε κοινὰ βίοιο
μὴ φρονέῃ κατὰ θυμόν, ἀναισθήτῳ τε παλαίῃ

523. πόλεως Gr. et LH.

524. ἤθεα καὶ τιμὴν μεμετρημένα πράγματ' ἔχοντας Gr. et LH.

526. Mscr. in margine ἀγχι θυράων t. Gr.

527. μέγα Gr. et LH. μίγα Dorvill. p. 564. nec tamen alterum defendi posse negat.

528. οἳ τότ' Gr. οἱ τότ' LH. „ἔσονται Mscr.“ Mrg.

529. μεμηνότες superscript. t. Gr. „μεμηνότες Mscr. „forte μεμαῶτες“ Mrg.

533. πορισμῷ LH. et sic Mscr. t. Gr.

534. ἔκ τ' Gr. et LH. ἐξ Dorvill. p. 661.

535. ποιμαίνουσι Mscr. t. Gr. et Mrg.

536. δημοσίων τε Gr. et LH. Nos γε.

537. ἔχοντες Gr. et LH. „Fort. ἐχούσης (sed lineola transverse per vocem ducta). Mrg. ἐχούσης etiam Dorvill. p. 661.

539. ἤ τοι Gr. et LH. Nos ἢ καὶ — δεδασμένον LH. „-σμένοι Mscr. t. Gr. (in annott.) et Mrg.

540. μαρφακτόν Gr. et LH. „fort. φαρμακτόν“ Mrg. μαιμάκτην vel μορφακτὸν dubitanter coniecit Dorvill. p. 303.

541. ψυχὴ γὰρ Gr. et LH. Nos γὰρ ψυχή — ἐπ' ἦν τάγε κοινὰ, βίοιο LH. „fort. ἐπιβάῃ“ Mrg. at vox βιῷ. lineola transfixa est.

δυσκρασίῃ, προτέθηκε, καὶ ἣν φάος ὄμμασι λεύσῃ·
ψυχῇ γὰρ μερόπων ἀμαθὴς νεκύεσσιν ὁμοίη.
Ἦν δὲ Σεληναίη κατέχῃ πάμμηνα κέλευθα,
συνδέσμους ῥυσμοῖο, σεληνιόωντα φανείη
φῦλα βροτῶν τάδε πάμπαν, ἰδ' εἰδώλοισιν ὅμοια,
καὶ κραδίῃ θεόληπτα, καὶ ἀκρατόεντι λογισμῷ
ἔνσοφα, πολλὰ δ' ἄβουλα καὶ ἀνθρώποις προλέγοντα
φοιβητοῖς μύθοισιν ἀποφθεγκτήρια κρυπτὰ
ἐσσομένων ἔργων τε βίου ζωῆς τε κελεύθους·
ἣν δὲ καὶ αἰθαλόεις ἀστὴρ σὺν τοῖσι φανείῃ
Ἄρεος ἐν κύκλοισι θοοῦ δινήματι κόσμου,
φάσμασι δαιμονίοισι συναιτήσουσιν ἐκεῖνοι,
ψυχῇ δερκόμενοι νεκροδερκῆ νερτερόμορφα,
ἔν τε καταγγελίῃσι θεῶν μηνίσμασί τ' αἰεὶ
ὀξύχολοι λυπρὸν βιότου τέλος ἀθρήσουσιν,
εἰδώλων στονόεντα τύπον διαπαντὸς ὁρῶντες,
ὧν πλάστειρα θεὰ πικροῦ θαμβήματος ἄρχει.
Ἀρεῖ δυνομένῳ μέσον οὐρανὸν ἢν Κρόνος ὀφθῇ,
ἔσται μισέλλην γενέθλῃ, τιμήν τε θεοῖσιν
οὐχὶ νέμων, ἄνομός τε φρεσὶν πλήθοντι λογισμῷ
ἀλλόφρων, δύσμικτος, ἀμετροεπής, ἀτράπεζος,
αὐτόνομος, κακόθυμος, ἀθεσμοφάγος, δολοεργός,

543. „*προτεθύηκε* script." Mrg.

544. „*ἀμαθεῖς*, Holst." Mrg. (sed lineola transverse per v. *ἀμαθ* ducta est.)

546. *φανείη* Gr. *φανείη* LH. *φανίη* Mscr. t. Gr. et Mrg.

547. *τὰ δὲ* LH. *ἐν εἰδωλ.* Gr. et LH. Nos *ἰδ' εἰδ.*

548. *θεόληπτα* Gr. et LH. *ἀκρατόεντι* Gr. et LH. *ἀκράτῳ ὄντι λογισμῷ* vel *ἀκρατέ' ὄντα λογισμοῦ.* Rigl.

549. *καὶ ἀνθρώπ.* Gr. et LH. *μετ' ἀνθρώπ.* Axt. *πολλάτ'* Gr. et LH. Nos *πολλὰ δ'.*

550. *ἀποφεγκτήρια* Gr. et LH. „*ἀποφευκτ'* Holst." Mrg. *ἀποφθεγκτήρια* Dorvill. p. 306.

551. *βίων* Gr. et LH. *βίου* Axt. „*ζωῆς* script." Mrg.

552. *αἰθαλόεις* — *φανείη* LH.

553. *δεινήματι* Gr. *δινήματι* LH. Nonne pro *θοοῦ* legendum *θοῷ*? Axt.

556. *μηνίσμασι* Gr. et LH. *μηνύσμασι* vel *μηνύμασιν* Dorvill. p. 303.

558. *διὰ παντός* Gr. et LH.

560. *δυσμένῳ* Gr. et LH. Nos *δυνομένῳ.* „*οὐραν.* script." Mrg.

561. *μεισέλλην* Gr. et sic script t. Mrg. superscript. *μισέλλην* t. Gr. et sic LH.

563. *δολοεργὸς* et *ἀτράπεζος* locum, quem in exemplo Grooovlano et in LH. tenent, invicem commutare iussimus auctore Herm. ad Orph. p. 717.

ὀθνείων κτεάνων ἐπιθύμιος, ὃν διὰ θυμὸν
δῆμοι μισήσουσι δι' ἀφροσύνην ἀλόγιστον.
Ἑρμείας δύνων τε καὶ ὡρονομῶν Κρόνος ἄνδρας,
Μήνης ἐρχομένης μέσον οὐρανὸν ἐν γενέθλῃσιν,
εὐξοάνους παλάμῃσιν ἀγαλμοτυπεῖς, θεοπλάστας,
χαλκοτύποις τέχνῃσι κολοσσοπόνους παναρίστους·
Ζεὺς δ' ὑψοῦ φοράδην νέον ἀστέρα φεγγοβολήσας
ὥρην Ἠελίου βιοτοσκόπον αὐγάζοντος,
ἐκφαίνει γενεῆς βασιληΐδος ἄνδρας ἔσεσθαι
κοινωνοὺς μετόχους τε καὶ ἐκ σοφίης κλέος ἕξειν,
ῥητορικοῖς τε λόγοισι μετ' εὐτυχίης μετέχοντας
ὄλβον καὶ βιοτὴν εὐδαίμονα καρπώσασθαι.
Ἑρμῆς δ' εἰς ὥρην μεροποσπόρον ἡνίκ' ἂν ἔλθῃ,
δυνούσης Μήνης ὑπὸ λοίσθια τέρματα γαίης,
ἀνέρες ἔσσονται βαθυχρήμονες, ἔν τε τραπέζαις
πιστόφρονες πόλιος ταμιεύτορες, ἔν τε τοκισμοῖς
καὶ χρείαις ζήσουσι βίον πολὺν ὀλβονομοῦντες·
ἢν δὲ Κύπρις κατὰ γῆς ἕλκῃ δρόμον ἀστερόεντα
καὶ Κρόνος οὐρανίην ἀτραπὸν μεσοδερκέα βαίνῃ,
στείρας τοι δείξει καὶ ἀτέκμονας ἀνδράσι νύμφας
ἀσπορίῃ κείνοισι λέχη λιπόπαιδα φερούσας.
Ζηνὸς δ' αἰθροπλανὴς ἐπὶ τούτοις μάρτυρος ἀστὴρ
δειχθείς, ἀλλοτρίων τέκνων ὑπόβλητα γένεθλα
ἀνδράσιν ἠδὲ γυναιξὶν ὑπὸ στοργῇσι θυραίοις.
Ἢν δ' ἰσόμοιρος Ἄρης κατὰ σήματα τοιάδε λάμψῃ,

566. μισήσωσι Gr. et LH. sed in marg. „scribe μισήσουσι."

569. ἀγαλματυπεῖς laudat ex hoc loco Schneid. in Lexic. s. h. v.

570. Cur non scripsit κολοσσοποιοῖς? Rigl.

573. superscr. βασιλεόδος t. Gron.

575. μετ' εὐτυχ. Gr. et LH.

576. βιότην Gr. βιοτὴν LH.

577. μέροπος πόρον Gr. μεροποσπόρον LH.

580. πόλεως Gr. et LH.

581. ζήσωσι Gr. et LH. ζήσουσι Dorvill. p. 294 et 661.

583. φαίνῃ Gr. et LH. βαίνῃ Dorvill. p. 659.

585. τέκνοισι Gr. et LH. τέκνων τε Dorvill. p. 661. Ego conieci κείνοισι Rigl.

587. εἰχθεὶς LH.

588. θυραίους Gr. et LH. θυραίοις Axt.

589. λάμψει Gr. et LH. λάμψῃ emendavimus.

φύσονται μάχλοι, διδυματόκαι, ἀρσενομίκται,
μεμφόμενοι φύσεως ὀρθὴν ὁδόν, ἔν τε πόλεσσιν
ἀλλοτρίαις ζήσουσιν ἀλώμενοι αἰσχρεόφημοι.
Ὁππότε δ' ἂν γενέθλην ἐφέπῃ Κρόνος ὡρονομεύων,
ἐν κακοδαιμοσύνῃ δὲ Σεληναίης φάος ὀφθῇ,
Ἠελίου δ' ἀκτῖνες ἀποκλίνωσιν Ὀλύμπου,
ἐκθεσίην ἕξουσι, τραφήσονται δ' ὑπ' ὀθνείων.
Ἡνίκα δ' ἂν Κυθέρη ἐξαθρῇ τεκνοσπόρον ὥρην
φυομένων, συνίῃ δὲ Κρόνος Ἄρης τε σὺν αὐτῷ
φέγγεϊ λαμπομένῳ κακοεργέϊ, τῆμος ἔσονται
ἐξ ἀπελευθερίης βασιληΐδος ἡμισύδουλοι.
Ἢν δ' ἰσόμοιρα Κρόνοιο σελάσματα Κύπριδος ὀφθῇ,
πανδούλους τε τίθησιν ὁμόζυγα λατρεύοντας,
οἰκέτιδος γενεῆς τε πεφυκότας ἐκ γενετήρων·
οὗτοι δεσποσυνῶν τε πικρὰς ἕξουσιν ἀνάγκας,
ἐξ ἑτέρων τε δόμων ἑτέροις πάλι δουλεύσουσιν
ἑπτάκι κυρείαις καὶ πεντάκι καινισθέντες·
ἐς γῆρας δ' ἥξουσιν ἀνασσόμενοι διαπαντός.
Ἠελίου δ' ἀκτῖνες ἀνοικείως ἐπὶ τούςδε
νεύουσαι δεσμούς τε κατηγορίας τε φοροῦσιν
ἀνδράσιν οἰκονόμοισι καὶ ἔμπαλιν ἔχλυσιν ἄτης,
κινδύνων κρυερῶν τε καὶ ἀλγεινῶν ἐχθράων·
ταὐτὸ γένος κείνοισι καὶ ἄρξεται ἣν δ' ἀπολήγῃ.

590. μαχλοὶ Gr. μάχλοι LH. διδυματόκαι Gr. διδυματόται LH. διδυμαπόται Axt.

592. ζήσωσιν Gr. et LH. ζήσουσιν Dorvill. p. 661.

595. „ἀποκλίνουσιν script." Mrg.

596. ἐκθεσίμην Gr. et LH. ἐκθεσίην Dorvill. p. 661. ἕξωσι Gr. et sic script. t. Mgr. ἕξουσι LH. τραφήσωνται Gr. -σονται LH.

598. συναίῃ Gr. et sic script. t. Mrg. συνείῃ LH. συνίῃ Gr. (in annott.) et Dorvill., qui tamen praefert συνίῃ p. 315.

599. κακοεργεῖ Gr. et LH.

600. ἥμισυ δοῦλοι Gr. ἡμισύδουλοι LH.

604. δεσποσύνων Gr. (sed vertit dominiorum) et LH. Nos δεσποσυνῶν.

605. δουλεύσωσιν LH.

606. κυρίαις Gr. et LH. κυρείαις Dorvill. p. 446.

609. νεύουσαι Gr. et LH. Nos emendavimus νεύουσαι.

610. οἰκονόμοισιν Mscr. t. Gr. et sic LH.

611. ἀλγεινῶν τε καὶ ἐχθρῶν Gr. et LH. ἀλγειν. Mscr. t. Mrg. Nos deleto τε καὶ scripsimus ἐχθράων.

612. καὶ ἄρξεται. ἣν δ' ἀπολήγῃ. Gr. et LH. „ἀπολήγῃ Mscr." Mrg. superscr.

Ἀντιμεσουρανέων δ' ὁπότ' ἂν Κρόνος Ἄρεϊ λάμψῃ,
θηροβόρον θάνατον φασὶν κλωσθέντα βραβεύει,
ὧν σάρκας δαΐσονται ὀρέστεροι ἠὲ λέοντες,
ἢ σύες ἀργιόδοντες, ἢ αἱματοπώτιδες ἄρκτοι·
σχήμασι δ' ἐν τούτοις ὁ γεγὼς καὶ πτώσιας οἴκων
ταρβείτω, καὶ σφάλματ' ἀφ' ὑψηλοῖο μελάθρου.
Πάντα γὰρ ἀνθρώποισι πέλει κατὰ Μοῖραν ἄφυκτον,
ὡς ἂν ζωϊδίων κύκλιος πόρος αἰθέρα τέμνῃ
μιγνυμένων στοιχηδὸν ἀφισταμένων δεικήλων·
οὕτω καὶ μερόπων γενεὴ καματηδὸν ἀλᾶται
ἢ βίον ἢ θάνατον διζημένη οὐρανόπλαγκτον·
ταῦτα τοι οὐρανίων ἄστρων στοιχεῖα τέτυκται,
οἷς ὁ πάλαι καὶ ὁ νῦν καὶ ἐπὼν χρόνος ἐκμεμέτρηται
ἐν μέτροις ἀγνῶσι, καὶ εἰς αἰῶνας ὀπηδεῖ.

ἀπολήγῃ t. Gr. Hunc versum mendo laborare, videmus; quomodo sit sanandus, non perspicimus.

614. *θηροβόλου θανάτου* Gr. et LH. Nos: *θηροβόρον θάνατον.* — *βαρείαν* Gr. et LH. *βραβεύει* Dorvill. l. p. 540.

615. *ἠδὲ* Gr. et LH. *ἠὲ* Rigl.

616. *ἀγριόδοντες* LH.

621. *ἀφισταμένων τε δεικήλων.* Nos deleto *τε* scripsimus *δεικ.*

622. „*ἀλᾶτ.* script." Mrg.

625. *καὶ ἐπων χρόνος* Gr. *καὶ ὁ ἐπὼν* LH. *ἐπὼν* Axt.

626. *ἐνμέτροις ἀγῶσι* Gr. *ἀγῶσι* Macr. t. Gr. (in annott.) et Mrg. *ἐν μέτροις αἰῶσι* LH. *αἰῶσι* etiam Gr. (in annott.) *ἐν μέτροις ἀγνῶσι* Dorvill. p. 661. *ὀπηδεῖ* Gr. *ὀπηδεὶ* LH.

In calce huius libri: *Μανεθ. ἀποτελ. βιβλίον δ'.* Gr. *πεπλήρωται βιβλίον δ'. τῶν Μανεθ. ἀποτελ.* LH.

ΜΑΝΕΘΩΝΟΣ

ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΩΝ

ΒΙΒΛΙΟΝ Ε.

Ἐξ ἀδύτων ἱερῶν βίβλων, βασιλεῦ Πτολεμαῖε,
καὶ κρυφίμων στηλῶν, ἃς ηὕρατο πάνσοφος Ἑρμῆς,
οὐρανίων ἄστρων τ' ἰδίαις ἐχάραξε προνοίαις,
σύμβουλον πινυτῆς σοφίης Ἀσκληπιὸν εὑρών,
ἀντιτύπῳ κηρῷ τ' ἀπομαξάμενος κεκόμισται
ἀνθολόγου μούσης βλύζον δώρημα μελισσῶν·
αἱ δ' ἄρα νύκτα μέλαιναν ὑπ' οὐράνιον χορὸν ἄστρων
μοιραίοισι μίτοισι λάλον τὸ μάθημα καθεῦρον·
οὐ γάρ τις τοίης σοφίης ἔτ' ἐμήσατο κῦδος,
ἢ μοῦνος Πετόσιρις, ἐμοὶ πολὺ φίλτατος ἀνήρ·
οὐ βαιὸς κάματός γ' οὗτος, Πτολεμαῖε, πέφυκεν·
ἀνθρώπων γενέσεις, ἃς ἤραρε μυρίος αἰών,
ἐκ στομάτων ἱερῶν ὁ σοφώτατος εἶπεν Ὅμηρος

Vers 2. ηὕρατο Gr. et LH. Fortasse εὕρατο.

3. Quidni scripserit οὐρανίων τ' ἄστρων?

4. Ἀσκλέπιον LH.

5. κεκόσμηται, Gr. et LH. κεκόμισται Dorvill. p. 635. fort. πεπόνηται aut κεκόμηται. Axt.

6. βληθῶν Gr. et LH. βληθων Mscr. t. Gr. (in annott.) βλίττων et βλίθην Dorvill. p. 635 et 663. βλύζον conieci Rigl.

7. ἣν δ' ἄρα νύκτα μέλαιναν Gr. et LH. ἂν δ' ἄρα νύκτα μέλαιναν Dorvill. p. 301. Nos αἱ δ'. — „χόρον script." Mrg.

8. μυρίοισι Gr. et LH. μοιραίοισι et μοιριδίοισι Dorvill. p. 301 et 315.

9. ἐπεμήσατο Gr. et LH. ἔτ' ἐμήσατο Dorvill. l. l.

10. πολυφίλτατος Gr. et LH.

11. οὗ Gr. et LH. „scribendum οὐ videtur pro οὗ cf. I, v. 8." Mrg. οὐ Fabr. in Bibl. Gr. Tom. II. p. 489. laudatus a Dorvill. p. 663. — κάματος Gr. et LH. Nos addidimus γ'.

12. γενέσειας Gr. et LH. γενέσεις Dorvill. l. l.

χείλεσιν ἀμβροσίοις καὶ νεκταρέῃ διανοίῃ
φύλλα, τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δὲ θ' ὕλη
τηλεθόωσα φύει· ἔαρος δ' ἐπιγίγνεται ὥρη·
ὡς ἀνδρῶν γενεὴ ἡμὲν φύει, ἠδ' ἀπολήγει·
μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ἐπὴν ταπρῶτα γένηται·
ἀλλὰ τιή μοι ταῦτα φίλος διελέξατο θυμός;
μύθοις οὐρανίοισι φέρων παρέθηκα γελοῖα,
χάλκεα χρυσείοισιν, ἔπη καὶ δόγματα θεῖα,
οἷα κόχλος χρυσῷ περικείμενος ἔσθ', ὁ δὲ χρυσὸς
κοσμεῖται κοχλίδεσσιν ἁλὸς πεοιπορφύροντος·
ἐν πᾶσιν μύθοις καὶ τῇ ἰδίῃ διανοίῃ
εἴρηται κάματος πραπίδων εὐσυνθέτῳ ἔργῳ.
ἢν δ' ὥρη ψεύσηται, ἅμ' ἐξώλισθεν ἅπαντα.
ὥρη δ' ἀκριβοῦσα βροτοῖσι τὰ δόγματα θεῖα
γίγνεται αἰῶνος ῥιζίς, φύσιος πολυμόρφου·
Ἀστέρες ἑπτὰ θεοὶ μὲν ἀπ' οὐρανοῦ ἀρέρι πουλὺν

15. δέ γ' Gr. „ἀλλὰ δέ γ' ὕλη script." Mrg. δέ θ' LH.

17. ἡ μὲν — ἠδ' Gr. ἡ δ' LH. Nos Wolfium secuti sumus.

18. μοίρην Gr. et LH. μοῖραν Axt. ἔμμενε Mscr. t. Gr. et Mrg.

19. ἐπ' ἦν LH. sed in margine „scribe ἐπὴν."

22. χρύσεα χαλκείοισιν Gr. et LH. At requiritur: χάλκεα χρυσείοισιν. — Ἔπει Gr. et LH. Nos ἔπη. „δόγματα Gr. et Mscr. t. Mrg. δώματα LH.

23. οἷα — χρυσός. his versus uncis inclusus est in LH. ὧδε LH. „ὧδε script. et parenthesis signum non erat in apographo" Mrg.

24. κοσμῆται Gr. et sic Mscr. t. Mrg. κοσμεῖται LH. et Dorvill. p. 240. κοχλάδεσσιν Gr. et LH. Emendavi κοχλίδεσσιν Rigl.

26. πραπίδων κάματος Gr. et LH. Nos has voces transposuimus.

27. δὲ Gr. δ' LH. ὥρην Gr. et LH. ὥρη Dorvill. p. 644. ψεύσηται συνεξώλισθεν Gr. et LH. ψεύσει συνεξ. vel ψεύσηται ἅμ' ἐξ. Dorvill. p. 644. ὑπεξώλισθεν Axt.

28. ὥρη Gr. et sic script. t. Mrg. ὥρῃ LH. ἀκριβοῦται Gr. et LH. ἀκριβοῦσα Dorvill. p. 644.

29. Hic versus est in exemplo Gronov. et in LH. versus 31: sed recte Gronov. eum huc transferendum censuit. αἰῶνός τε γένος γίνεται ῥίζα Gr. voces γένος γίνεται lineola subducta notantur in LH. „γένοιτο" Mrg γίνεται, αἰῶνός τε γένος, ῥίζα φύσεως πολυμόρφου Dorvill. p. 663. „φύσεω Mscr." Mrg. Pro ῥίζα coniecei ῥιζάς vel potius ῥιζίς Rigler. Nos: γίγνεται αἰῶνος ῥιζ., φ. π.

30. ἀπ' Gr. et LH. ἀρέρι πουλὺν Gr. et LH. ἀρέσι. Mscr. t. Gr. (in annott.) sed videtur error esse operarum.) ἠέρι πολλῷ, ἐρείδονται denique ἄχρις Ὀλύμπου Dorvill. p. 663 et 664. Nos coniecimus: ἄρ' οὐρανὸν ἀμφιπολοῦντες, vel ὑπ' οὐρανῷ αἰθροπολοῦντες.

οἳ ζώνας κατέχουσιν ἄνω τὰς ἑπτὰ πόλοιο,
ζωδιακοῦ κύκλου σφαιρώματα, καγχαλόωσιν
εἰν ἰδίοις ὁρίοις ὑψώμασιν ἠδέ τ' ἐν οἴκοις·
Ζεύς, Ἄρης, Παφίη, Μήνη, Κρόνος, Ἥλιος, Ἑρμῆς·
ἐν συνόδῳ, βασιλεῦ, μεγάλους παρέχει βασιλῆας·
αὐτίκα δ' ἐν συνόδῳ Μακεδὼν βασιλεὺς ἐγενήθη,
ὃν πινυταῖς πραπίδεσσιν ὁμοῦ σκήπτροις ἀνέδειξαν·
καὶ σὺ δέ γ' ἐν συνόδῳ, ἀλλ' οὐκ αὐτῇ ἐνὶ ὥρῃ.
Ἥλιος σατράπας μεσσουρανέων ἐπιδείξει,
καὶ στρατιῆς Ἄρης ἡγήτορας οἷς ἐνὶ οἴκοις·
ἐν δ' Ἄρεως οἴκοις καὶ Ζεὺς ἀπέφηνε δικαστάς,
καὶ τούτων δὲ ἕκαστος, ἐπὴν ἐπίκεντρα τὰ φῶτα·
ἢν δ' ἀτόνως λεύσσειε, συνεξώλισθεν ἅπαντα·
ὡς ὅτ' ἂν ἐν μεγάλοις τοῖς σχήμασι καλὸν ἀθρήσῃ
ἀστὴρ ἀργαλέος, ὑπὸ βασκάνῳ ὄμματι θραύει·
οὕτως ἀργαλέοις ἀστὴρ καλὸς ὄμματ' ἐποίσει
ἢ τετράγωνος ἐὼν τοῖς σχήμασιν ἢ διάμετρος.
Ἀντολίην ζητῶν καὶ τὴν φάσιν ἐν συναφῇσιν,
νυκτερινὸν δείμαινε Κρόνον καὶ ἑῷον Ἄρηα·
ἀρχαὶ γὰρ τούτων πάμπαν τελέθουσιν ἀηδεῖς.
ὡς πυρὸς αἰθομένου φλογεραὶ φλόγες εἰσὶν ἐν ὕλῃ
λάβρ' ἐπιγιγνομένου καὶ σβέννυται εὐθὺ παρ' ἀκμήν·
ἢν δ' ἐσίδῃ Παφίην, οὐ μαίνεται, ἀλλὰ κενοῦται·

31. ἑπταπόλοιο Gr. (et vertit *septem portarum*) τὰ σεπτὰ, πόλοιο Mscr. t. Gr. ἑπτὰ πόλοιο LH.

32. σφαιρώμασι Dorvill. p. 664.

35. μεγάλοις script. t. Gr. (in annott.) et Mrg. Quidni scripserit παρέχουσιν ἄνακτας? Axt.

36. ἐγενέθη LH.

39. μεσουρανέων Gr. et LH. μεσσουρανέων Axt.

41. ἐν δ' Ἄρεως οἴκοις καὶ Gr. et LH. καὶ nobis displicet: cogitavimus ὤν.

42. δὲ Gr. δ' LH. ὅτ' ἂν Gr. et LH. „ὅταν Holst." Mrg. pro ὅταν conicei ἐπὴν Axt.

44. σχήμασιν ἄλλος Gr. et LH. Nos σχήμασι καλὸν.

45. ἀργάλεος Gr. ἀργαλέος LH. — Fortasse ἀργαλέος γ' Rigl. ὑποβασκάνῳ Gr. et LH. ὑπὸ βασκ. Rigl.

49. ἑῶον Gr. ἑῷον LH.

51. εἴσιν LH. „fort. φλογὲς εἰσιν. — φλόγεσιν Holst." Mrg. Nonne μαλεραὶ φλόγες? Rigl.

52. λάβρ' ἐπιγεινομένου Gr. et LH. „λάβρι' Mscr." Mgr. λάβρ' ἐπιγ. Mscr. t. Gr. λαβρὸν ἐπειγομένου Dorvill. p. 665.

τοῦ δὲ Κρόνου τάρβει αἰεὶ κατὰ πάντα τελευτήν·
ψυχρὸς γάρ τε πέλει τῇδε Κρόνοιο βολῇ
καὶ πήγνυται
ὄψιμος· εἰ δ' ἄμφω δῆρίν γ' ἐπίκεντρον ἔχωσιν,
ἔνθ' ἀκαταστασίαι καὶ πῆμ' ἐπὶ πήματι δεινῷ·
ἢν στείχωσι δ' ὁμοῦ σύνοδοι ἢ εἰς ἕνα χῶρον,
εὐκρασίῃ χαίρουσι καὶ οὐκέτι δῆριν ἔχουσιν·
θερμότατος γὰρ ἐὼν ψυχρῷ ἀνακίρναται Ἄρης,
ψυχροτάτη δὲ Κρόνοιο βολὴ θάλπει ὑπὸ θερμῷ.
Μειλίχιος Κρονίδης κατὰ πάντα Κρόνῳ συνοδεύων
σύν τ' ἄστροις πᾶσιν πλὴν Ἡελίου κακοεργός.
σὺν κείνῳ γὰρ ἐὼν λύει πατρῷϊον οἶκον,
καὶ φυγάδας τεύχει τε καὶ ἐν νήσσοισιν ἀλήτας.
Ἠέλιος Παφίῃ κοινούμενός ἐστι κάκιστος·
ζῆλον, δυσγαμίην, ἐγκλήσιας, ὕβριν, ἀνάγκην,
καὶ ψόγον ἐν λέκτροις, ἀσχήμονά τ' ἀλλοπρόσαλλα·

54. τοῦ δὲ Κρόνου τάρβει Gr. κρόνου, τάρβει (sic) LH. „τάρβει script." Mrg. (sed haec verba lineola inducta sunt.)

55 et 56. ψυχρὸς γάρ τε πέλει τῇδε Κρόνοιο βολὴ καὶ πήγνυται Ὄψιμος εἰ δ' ἄμφω δι' ἔριν δ' ἐπὶ κέντρον ἔχωσιν. Gr. „Sic ordinavi, quum in Mscr. uno versu continuaretur, ψυχρὸς γάρ τε πέλει τῇδε Κρόνοιο βολὴ καὶ πίγνυται Ὄψιμος; in secundo ponerentur haec: εἰ δ' ἄμφω διέριν δ' ἐπίκεντρον ἔχωσιν, ut versus quinque pedum."

ψυχρὸς γάρ τε πέλει·
τῇ δὲ Κρόνοιο βολῇ καὶ πήγνυται
ὄψιμος....

εἰ δ' ἄμφω διέριν δ' ἐπίκεντρον ἐχ. LH. „fort. πήγνυται et addendum Ἄρης. δ' (post διέριν) fortasse significat τετράγωνον" Mrg. Versum 55 ex vicinia traductum et supervacaneum indicat Dorvill. p. 482. Versum 56 constituit ita:

ὄψιμος· (seu ὀψίμου p. 482) εἰ δ' ἄμφω δῆρίν γ' ἐπὶ κέντρου ἔχωσιν. p. 336. Nos aliquando ψυχρὴ γάρ τε Κρόνοιο βολὴ καὶ πήγνυται ἤδη —.

58. στίχωσι Gr. et LH. στείχωσι Dorvill. p. 336.

59. εὐκρασίᾳ laudat Dorvill. l. l. οὐκέτι Gr. οὐκ ἔτι LH.

60. ἀνακρίνεται LH.

61. ψυχροτάτη — βολὴ ἀποθάλπεται θερμῷ Gr. et LH. ἀποθάλπτεται Mscr. t. Mrg. Idem superscriptum esse testatur Gr. ψυχροτάτην — βολὴν ὑποθάλπει ὁ θερμὸς vel ψυχροτάτη — βολὴ θάλπει ὑπὸ θερμῷ. Axt.

63. ἄστροισι Gr. et LH. ἄστροις Dorvill. p. 315. ὄπασιν Gr. et LH. πᾶσιν Dorvill. l. l. κακοεργὸς Gr. καλοεργὴς LH. „κακοεργὸς script." Mrg.

65. τεύχει καὶ Gr. et LH.

66. κοινούμενός ἐστι κάκιστος. Gr. κοινούμενος, ἔστι κάκιστος. LH.

67. ζῆλος Gr. ζῆλον LH. et sic Dorvill. p. 278. ἐγκλήματα. ὕβριν, ἀνάγκην Gr. et LH. ἐγκλήσιας, ὕβριν, ἀνάγκ. Axt.

68. ἀλλοπρόσαλλον Gr. et LH. „ἄλλο πρὸς ἄλλον Holst." Mrg. Nos ἀλλοπρόσαλλα.

ἢ δύνων Κρονίδης ἢ καὶ ὑπόγειος ὑπάρχων
λαμπροτέρας πρήξεις εἰν ἀλλοδαποῖσι τόποισιν,
εὐπορίην δηλοῖ τε καὶ ὀψίτυχόν τινα πίστιν.
Ἢν δ' ἐσορῇ Στίλβοντ' Ἄρης ἐπὶ τέρματος αἴης,
θησαυροὺς ἐπέδειξε, καὶ ἐκ χθονὸς ὄλβον ἔδωκεν.
Ἄστοργος θυμοῖσιν ἀεὶ ὀλοώτατος Ἄρης
μὴ καθορῶν Κρονίδην, μηδ' εὐπλόκαμον Κυθέρειαν·
οὗτος γὰρ κακός ἐστιν, ἐπὴν ἐπίκεντρος ὁδεύων
ὅσσ' ἀνέχων λεύσῃ καταλαμπομένην Ἀφροδίτην·
Πᾶς ἀστὴρ πέλετ' ἠὲ πανίμερος ἠὲ πονηρὸς
ἐν γενεῇ· φαῦλος δ' ὅτε οἱ παλίνορσος ἐπειχθεὶς
εἰς ἰδίην χώρην αὐτὸς κατ' ἐπέμβασιν ἔλθοι.
Ἀργαλέων ἄστρων δυνατῶς γίγνωσκε τὰ δῶρα·
ἐν δὲ τέκνοισι μόνοις ἀγνώμονές εἰσι δοτῆρες
καὶ διδόασι γονῇν ἔπι πένθιμον ὄμμασι δάκρυ.
Ἄρης καὶ Στίλβων, σύμφωνα τὰ κέντρα λαχόντες,
ὑψηλούς, δρήστας, μεγαλόφρονας ἠδὲ βιαίους,
πταίοντας τόλμῃ καὶ σφαλλομένους ἐπὶ δόξῃ·
ἤτοι γὰρ κολάσει συνελαυνόμενοι βεβάρηνται,
ἢ ἀλόγους μέμψεις ὑπενεγκάμενοι πεπάτηνται,
ἠὲ πάτρην φεύγουσι διωκόμενοι παρ' ἕκαστα.

69. καὶ δύν. Gr. et LH. ἢ Rigl.

70. πράξεις Gr. et LH.

71. ἐς πορίην Gr. εὐπορίην LH. et Dorvill. p. 336. καὶ Gr. et LH. Nos addidimus τε, sed vid. prooem.

72. στίλβων τ' LH. et sic Mscr. t. Gr. αὐαίης Gr. „ἂν αἴης script." Mrg. αὐγῆς vel αἴγλης coni Gr. (in anaott.) αἴης LH. et sic Dorvill. p. 629.

74. „ὀλοιττ script." Mrg.

76. ὅτ' ἂν Gr. et LH. ἐπὴν Axt. „Desunt aliquot versus, si vera est nota marginalis" Mrg.

77. ὅσσον ἔχων Gr. et LH. ὅσσ' ἀνέχων Dorvill. p. 261. λεύσει Gr. et LH. Nos λεύσῃ.

78. πέλεται πανείμερος Gr. et LH. „πανήμερος superscr." Gr. πανημ. Mscr. πανθήμερος Dorvill. p. 261. πανίμερος Axt. Ego πέλετ' ἠὲ Rigl.

79. ἐπιχθεὶς Gr. (sed vertit *festinans*) et LH. ἐπειχθεὶς Dorvill. p. 301.

80. ἰδίαν Gr. et LH.

81. δυνατῶς Gr. et LH. Fortasse συνετῶς. Axt.

82. ἐν δὲ τέκνοισι μόνοις Gr. et LH. Cogitari ἐν δὲ κενῇσιν ὁδοῖς μόνοι aut ἐν κέντροισιν aut tale quid reponendum esse. Rigl.

83. ἐπὶ πένθιμον Gr. ἐπιπένθιμον Mscr. t. Gr. et sic LH. idque tuetur Dorvill. p. 599. Nos ἔπι.

85. δράστας Gr. et LH. παίοντας Gr. πταίοντας LH.

Εἰ δὲ Κρόνος τούτῳ τῷ σχήματι μάρτυς ἐπέλθῃ,
τὸν δεσμὸν λύσας δόξαν παλίνορσον ἔδωκεν,
καὶ χειμῶνι πικρῷ γλυκερὴν ἐπέχευε γαλήνην.
Ἑρμείας κακότεχνος ὁμοῦ καὶ πυρβόλος Ἄρης,
ἢ δύναντες ὁμοῦ ἢ καὶ ὑπόγειοι ἐόντες,
ἐλπίσιν ἀπλήστοις μεγάλας ἀρχὰς μελετῶσιν·
ὄλβῳ γὰρ πίσυνοι καὶ τεύχεσι θωρηχθέντες
οὐρανίοις ἄστροις ἔπι γειτόμενοι ἀτῶνται,
ἠδ' ἄστρων φύσαντες, ἐὴν διὰ πίστιν ἄπιστον
οὐρανίῃσι βολαῖς ὡς ἀστέρες ἦλθον ἐπ' ἄφνω.
Καὶ Παφίη δύνουσα κακὴ ὡς λοίγιος Ἄρης·
ἀλλ' ὁ μὲν ἀλγύνει ψυχὴν καὶ σῶμα βρότειον,
ἡ Παφίη δὲ πικρὴ καὶ βάσκανός ἐστ' ἐπὶ λέκτροις.
Ἑρμῆς καὶ Παφίη ἰδίαις μοίρῃσι ταπεινοί,
ξυρομένους κεφαλὰς μίμους ὄχλοισι γελοίων·
οὐ καλός ἐστιν Ἄρης μὲν ἐπεμβαίνων Ἀφροδίτῃ·
ζήλους γὰρ τεύχει φοβεροὺς καὶ φάρμακα δεινά,
καὶ κρυφίμα στομάχων ἀλγήματα καὶ νόσον ἄρθρων·
ἥμερός ἐστιν Ἄρης ἐπὶ τὸν Δία πάντοτ' ἄκεντρος·
αὐξιφαὴς δ' ἀγαθὴ κατὰ πάντα πέφυκε Σελήνη.

90. ἠδὲ Gr. „ἦδε Mscr." Mrg. „εἰδὲ superscr" Gr. εἰ δὲ LH.

96. πειυτοὶ Gr. et LH. πίσυνοι Dorvill. p. 437.

97. ἐπιγειτόμενοι Gr. et LH. ἔπι γειτόμενοι Dorvill. p. 437. Nos aliquando suspicati sumus ἐπαειρόμενοι vel ἐπιτειτόμενοι. — ἄτωνται Gr. ἀτῶνται LH.

98. ἦδ' Gr. ἠδ' LH. ἄστρων φύσαντες Gr. et LH. ἐκ δ' ἄστρων φυσῶντες (p. 482) vel ἠδ' αὐτῶν φύσαντες Dorvill. p. 680. ἠδ' ἄστρων ψευσθέντες vel σφαλμῶντες seu σφαλμοῦντες. Axt. Mihi in mentem venit ἐκ δ' ἄστρων πταίσαντες. Rigl. „ἐὴν Mscr. ἐὴr apogr." Mrg.

99. οὐρανίαισιν — ἦλθον ἐπ' ἄφνω Gr. (vertit: *in opibus*) ἄφνω LH. ἦττον (ἧττον p. 680) ἐπ' ἄφνει vel ἐπ' ἄφνος Dorvill. p. 482. „Post hoc verbum in Mscr. adscribitur ἀνέλαμψαν, quasi id his adnecti deberet" Gr. „ἀνέλαμψαν glossa" Mrg. ἦλθον ἐς ὄρφνην. Axt.

103. „Fort. ταπεινοῖς" Mrg.

104. γελοίων Gr. et LH. „f. γελοίους" Mrg. et sic Dorvill. p. 666.

105. οὐ καλός ἐστιν Ἄρης ἐπεμβ. Ἀφροδ. Gr. et LH. Ἄρηος sc. ἀστὴρ coni. Gr. (in annott.) οὐ καλὸς Ἄρης ἐστὶν ἐπεμβ. Dorvill. l. l. Ego μὲν addidi post Ἄρης. Rigl.

107. καὶ στομάχων κρυφίμων ἀλγήμ. Gr. et LH. „στονάχων Holst. forte voluit στοναχῶν." Mrg. Ego: καὶ κρύφιμα στομάχων ἀλγ. Rigl.

ἢν φεύγουσα Κρόνον γ' ἐπὶ τὸν Δία πρῶτον ἵκηται·
καὶ λείπουσα καλή, ὁπότ' ἂν Παφίῃ συνοδεύῃ·
μεῖον δ' ἢ μεῖζον μεστὴ πρὸς Ἄρηα κακίστη·
πλησιφαὴς Μήνη ἐπὶ τὸν Κρόνον ἐστὶν ἀρίστη·
πλοῦτον γὰρ πουλὺν παρέχει, ἀλλ' οὐκ ἐπὶ δόξῃ.
πλησιφαὴς δ' ἀκτῖσιν ἀποῤῥείουσα Κρόνοιο
ψυχαῖς πλαζομένους, ἐξισταμένους διανοίης,
σαρκῶν ἐξ ἰδίων ἀπογευομένους, ἱεροῖσιν
θυμῷ μορμύροντας ἐπίψογον εἰς νόσον ὀργῇ,
βωμολόχους θ' ἱερεῖς τιμαῖς θείῃσι προφήτας.
Ἠέλιον Μήνη ὁπότ' ἂν συναφῇσι καθεύροι,
ἀρχῇσιν πλοῦτον παρέχει πενίην ἐπάγουσα·
οὐκ ἰδικὴν γὰρ ἔχει φάσιν ἡ θεός, ἀλλά τιν' αὐγὴν,
χείρων Ἠελίοιο δανείζεται, οὐ μόνιμον φῶς.
Μήνη δ' ὡς σχομένη περ ἀπώλεσεν ὅσον ἔλῃσιν,
οὕτω καὶ πλούτῳ πενίην ἐπέθηκε φέρουσα
ἀντιτύπῳ νεμέσει ἀποδωκαμένη τὸ δάνειον·
σύνδεσμος Μήνης ὀλοώτατός ἐστι βροτοῖσιν·

110. *Κρόνον* Gr. et LH. *γ'* addidi Rigl. Alias coniecimus *πρὸς τὸν Δ.*

111. *καλῇ* Gr. *καλὴ* LH. et sic Dorvill. p. 666.

112, *μείων* — *μείζων* Gr. et LH. „fort. *μεῖον* — *μεῖζον* scribend.“ Mrg. et sic Dorvill. l. l. *ἄρεα* Gr. et Mscr. t. Mrg. *ἄρηα* LH. et sic correxit Gr. (in annot. ad v. 105.)

115. *ἀποῤῥέουσα* Gr. et LH. *ἀποῤῥείουσα* Gr. (in annott. ad v. 105.)

116. *διανοίαις* Gr. et LH. *διανοίης* Rigl.

117. Post *ἱεροῖσιν* comma positum in LH.

118. *μορμύροντας* Gr. et LH. Mihi in mentem venit *πορφύροντας* Rigl. *ἐπίψογον* an germana scriptura sit, dubito: puto *ὑποφθόρον εἰς νόσον ὀργὴν* Axt. *ὀργῇ* Gr. *ὀργὴν* LH.

120. *συναφαῖσι* Gr. et LH. *καθεύροι* LH.

121. *ἀρχαῖσιν* Gr. *ἄρχεσιν* LH. *ἀρχέσιν* Mscr. t. Gr.

122. *οὐκ ἰδικὴν παρέχει* Gr. *οὐχὶ δικὴν παρέχ.* LH. et sic (*δίκην*) Mscr. t. Gr. „scr.: *οὐκ ἰδίην γὰρ ἔχει*“ Mrg. *ἀλλά τιν' αὐγὴν* Gr. *ἀλλὰ τὴν αὐγὴν* LH. sic etiam Mscr. t. Gr. „scribe *αὐτὴν*“ Mrg. *αὐτὴν* superscr. t. Gr. „*αὐτὴν* Mscr. et Holst Mrg.

124. *μέμνη* [illegible] *λεσεν ἰσοτέλη* [illegible] proposuit Gr [illegible] (vel *μέστην* [illegible] *τέλος αἰεὶ* [illegible] *μήνη δ' ὡς* [illegible] Rigl. Ego [illegible] *ἔλῃσιν.* Ax [illegible]

127. „*ἐ* [illegible] t. Gr. *βι* [illegible]

κῆν λύσῃ δὲ φάσιν τὰ τελέσματά γ', οὗτοι ἔασιν
πτωχοί, χερνῆται ταλαπείριοι ἠδέ τ' ἀλῆται.
Ἠελίου κέντροισιν Ἄρης διάμετρος ὑπάρχων
τέκνοις καὶ γενέτῃσι μάχας ἠδ' ἄστατον ὀργήν·
καὶ διάμετρος Ἄρης εὑρὼν μοίρῃσι Σελήνην,
δεσμά, βρόχους, εἰρκτάς, πολέμους, ἀσχήμονα ζωήν·
ἢν δ' ἀπόκεντρος Ἄρης μοιρῶν ἰδίων διάμετρος,
μιμητὰς τέχνης καμάτου πυρὸς ἠδὲ σιδήρου·
καὶ Παφίῃ διάμετρος Ἄρης οὐ σώφρονα μοιχόν,
Καμπτομένοις ζώοις ὅτ' ἂν εὑρήσῃς ποτὲ φῶτα,
Ἑρμείαν σκέπτου· θηλυνόμενος γὰρ ἐκεῖνος
σχήματι τῆς Παφίης μεθοδεύεται, καὶ τότ' ἐκεῖνος
κοσμεῖτ' ἀῤῥενόθηλυς ἐὼν πέπλοισι γυναικῶν,
καὶ τούτων ἄρχει δήμου θυμέλῃσιν ἀρεστός·
εἰ δὲ γυναικὸς ἔῃ, πολύκοινον ἔτευξεν ἑταίρην,
μουσῳδόν, σοβαρήν, πολλοὺς τήκουσαν ἐραστάς·
εἰ δ' Ἄρην ὑπόγειον ἔχων φαίνοιτό τις ἀνήρ,
καὶ σὺν τῷδε γένοιτο ἰοβλέφαρος Κυθέρεια,
καλοβάτην σχοίνων ἠδ' ἠερόφοιτον ἔθηκεν,
Ἴκαρον αἰθέριον πτερύγων δίχα καὶ δίχα κηροῦ·

128. Nonne *κῆν δὲ φ. λύσ.* — *οὗτος* Gr. et LH. *ουτοι* Axt. *ἔασιν* Gr. *ἔασιν* LH. *ἔασιν* tuetur Dorvill. p. 496.

129. *πτωχόν*, — *την*, — *ιον* — *την* [illegible]r. et LH. *χερνητὴν* Gr. *χερνήτην* LH. [illegible] reposui. Axt. *ἠδ' ἔτ'* LH. [illegible] *μοίραισι*, si [illegible] et LH. Nos [illegible] script." Mrg. [illegible] H. Nos *σχή*-[illegible]*ότ'* Gr. *καί* [illegible] *ται-πέπλ.* *ἀῤῥ. ἐὼν* [illegible] *υ* Mscr. [illegible]t. Gr. (in annott.) et sic LH. *ἄρχει δήμου.* Axt. *θυμέλῃσιν ἐραστά;* Gr. *ἐραστὰ;* LH. sed in margine „scribe *ἐραστάς*." Ego aliquando conieci *ἐφεστώς*. Axt. Reposuimus *ἀρεστός*.

142. *ἢ* Gr. et LH. Nos *ἔῃ* vel *ἔοι*.

143. *ἐρασταῖς* Gr. et sic Mscr. t. Mrg. *ἐραστὰ;* LH. et Gron. (in annott.) atque Dorvill. p. 320.

145. Fortasse scribendum *ἢν σὺν τῷδε γένηται*, sed tuetur hiatum Spitzner. p. 158.

146. *ἰδὲ ἱερόφ.* Gr. et Mscr. t. Mrg. *ἰδὲ ἠερόφ* LH. Gron. (in annott.) Dorvill. p. 361. *ἠδ'* Spitzn. de v. hom. p. 158.

147. *αἰθέριον* Gr. et sic script. t. Mrg. *αἰθερίων* LH. *πτερῶν* Gr. et LH. *πτερύγων* Dorvill. p. 608.

ἦν δ' ἐςίδῃ Τιτὰν φαέθων, ἐπὶ γαῖαν ἀφῆκαν.
Ἢν δ' εὕροις Μήνην αἰεὶ δύνουσαν ἐφ' ὑγροῖς,
πρὸς Κρόνον ἐρχομένην ἢ δύνουσαν, τὰ βόρεια
ἀνθρώπων δεύουσαν ὁρᾷ τότε ναύτιλος ὑγρήν,
εὔνιδες οἱ γάρ τοι τεκέων ἄγονοί τε πέλονται.
Καὶ μὴν καὶ Στίλβων εὖτ' ἂν μεσάτῳ περὶ κέντρῳ
στείχῃ, τῷ δ' ὀλοὸς Φαίνων κατένανθ' ὑπόγειος,
ἀλλήλαις δ' αὖ Μήνη ἰδ' Ἀφρογενὴς τετράγωνοι,
καὶ τὴν μὲν Φαίνων, Μήνην δέ τ' Ἄρης δεκατεύῃ,
γείνοντ' ἠὲ γονῆς τητώμενοι ἠὲ δίμορφοι,
ἄλλα μὲν Ἑρμείῃ, τὰ δ' ἐοικότες Ἀφρογενείῃ.
Εἰ δὲ Σεληναίη μὲν ἐνὶ Στίλβοντος ὅροισιν,
ἄρσενι δ' ἐν ζῴῳ Κύπρις πέλοι ἐν Κρόνου οἴκῳ,
μηδ' ὅσον ἀμφοτέρας Ζηνὸς καταδερκομένοιο,
στείρας ἤδ' ἀτόκους τῆμος θήκαντο γυναῖκας.
Ὁππότε δ' ἂν Φαίνων μὲν ὑπὲρ κέντρου μεσάτοιο
ἵστηται, τῷ δ' αὖτε καταντιπέρην Ἀφροδίτη,
ἠέ γ' ἀπείρητοι τεκέων ἐπὶ πάγχυ γένοντο,
ἢ φθείρουσι γονὰς ἀπὸ γαστέρος ὠμοτοκοῦσαι.
Εἰ δ' ἐσθλὸς Φαέθων τοῖσίν γ' ἐπιμάρτυρος εἴη,
ψευδέσιν ὠδίνεσσι λάθρῃ παίδων ἐγένοντο
μητέρες ἀλλοτρίων, καὶ ὑποβλήδην ἐτέκοντο.
Εἰ δ' ἄρα καὶ Πυρόεις μαλεραῖς ἀκτῖσιν ὁρῴῃ,
πάντ' ἀναφανδὰ πέλει, τά γε δὴ λάθρῃ ἐξετέλεσσαν.
Εἰ δ' ἄρα πως ἄστρων κατ' ἀπείριτον οἶμον ἰόντων
ἀνδρὸς ἔοι γενέθλη, τότ' ἀεικέα ἔργα τελοῦσιν·
κέρσαντες γὰρ ἀχρεῖον ἑοῦ ἀπὸ σώματος αἰδῶ

275. εὔνιδες οἱ γάρ τοῦ Gr. εὐν. οἱ γάρ που LH. „εὐνίδες scriptum. γάρ του Macr.“ Mrg. εὔνιδες οἱ γάρ τοι Dorvill. p. 678.

276. ναὶ μὴν Gr. καὶ μὴν LH.

279. δέτ' Gr. δ' ἔτ' LH.

280. „γίνοντ' Holst.“ Mrg.

281. ἀλλὰ Gr. et LH. ἄλλα Gr. in annott. τάδ' Gr. et LH. Nos: τὰ δ'. — αὖ τε Gr. „αὔται (sic) scriptum“ Mrg. αὐτὴ LH.

287. ἵζηται Gr. et LH. Nos ἵστηται.

291. ψεύδεσσιν Macr. t. Gr. ψεύδεσιν ὠδίνεσσι LH.

293. ὁρώῃ Gr. et LH. Nos ὁρῴῃ.

294. λάθρῃ Gr. λάθρῃ LH.

296. ἀνδρὸς ἐπὶ γενέθλη Gr. γενέθλῃ LH. ἀνδρὸς ἔοι γενέθλη Herm. ad Orph. 716.

297. „αἰοῦ ἀπὸ Holst.“ Mrg.

καὶ κυσὶ μήδεα δόντες ἑκοντὴν ὠμὰ δάσασθαι,
αὐτοὶ ἀγείροντες γαῖαν κατὰ πᾶσαν ἀλῶνται.
Ὅσσαις δ' αὖτε γυναιξὶν Ἄρης Φαέθων τ' ἐπὶ κέντρῳ
αἰπυτάτῳ βεβάωσι, Κυθήρης ἐν Κρόνου οἴκῳ
φαινομένης, αὐτοῦ τε Κρόνου ζώῳ ἐν ἐκείνης
δερκομένου Φαέθοντα μεσουρανέοντα καὶ Ἄρην,
ταῖσιν μοῖρ' ὀλοὴ τέκνων στάχυν οὔποτ' ἔνειμεν.
Τόσσ' εἰπὼν ἀτέκνων τε καὶ ἀσπέρμων ἐπὶ φωτῶν,
ἄλλα δὲ μαντιπόλοισιν ἐπιφράσσασθαι ἐάσας,
αὐτίκ' ἀδελφειῶν λέξω πῶς ἄν κε φράσαιο
πληθύν, ὁππόσσοι τε μιῆς ἀπὸ γαστρὸς ἔασιν
ἔκ τ' οἵων πατέρων, ὅσσους τ' ἐπιμὶξ ἐτέκοντο
μητέρες ἀλλοίοισι παρ' ἀνδράσιν εὐνηθεῖσαι·
ἐν θυμῷ δὴ πρῶτα χρεὼ φράζεσθαι ἀριθμόν,
ὅσσοι ἀφ' ὡρονόμου ζώῳ τριτάτῳ καθορῶνται,
ἠὲ μεσουρανέοντι πόσοι βεβάασιν ὕπερθεν
ἀστέρες, ἢ σφετέραις ἐπιμάρτυροί εἰσι βολῇσιν,
ὁππότε δ' ἐξ ὥρης τριτάτου ἀπὸ δεικήλοιο
ἢ ὁπότ' ἐκ κέντροιο τόδε σκέψασθαι ἄρειον,
οὐκ ἔλαθεν σοφὸν ἄνδρα καὶ ἴδμονα μαντοσυνάων.
Ὡς δ' αὔτως σκέψαιο καὶ ὅσσοις ἀστράσι Μήνη
συμφέρετ', ἢ ὅσσοισι μέχρις φάσιος συνέμιξεν·

298. ἑκοντὶ Gr. ἑκόντη LH. ἑκοντη (sic) Mscr. et superscr. ἑκονται t. Gr. „ἑκόνται Mscr. et Holst.“ Mrg. ἑκοντὴν Lobeck, ad Phrynich. p. 5. „δίσασθαι Holst.“ Mrg.

299. „ἀλῶνται script.“ Mrg.

301. βεβαῆσι κυθήρ. Gr. βεβαῶσι, κυθ. LH. „βεβαῆσι script. it. κυθήρη“ Mrg. κυθήρη Mscr. etiam testante Gron. (in annott.)

305. Pro ἐπὶ mavult legi περὶ Dorvill. p. 678.

306. ἐάσσας Gr. et LH. Nos ἐάσας reposuimus.

307. ἀδελφεῶν Gr. et LH. „scribe ἀδελφειῶν“ Mrg. et sic Dorvill. p. 678. ἂν καὶ Gr. et LH. ἄν κε Dorvill. l. l.

308. ὁπόσσοι Gr. et LH. ὁππόσοι Dorvill. l. l. Fortasse ἴασιν Axt.

309. ἐκ τοίων, ὅσσους Gr. et LH. Ego ἔκ τ' οἵων πατ., ὅσσους τ' Rigl.

313. βεβάασιν Gr. et LH. βεβάωσιν Dorvill. p. 338.

314. σφετέρῃς Gr. et LH. ἐπιμάρτυροι ἦσι Gr. ἦσι LH. ἐπιμαρτυρέωσι Dorvill. p. 338. εἰσι Axt.

315. δεικήλοιο Gr. et LH.

317. ἔλαθον Gr. et LH. Nos ἔλαθεν. — ματοσυν. Gr. sed in corrig. μαντοσ. et sic LH.

τόσσους γὰρ γνωτοὺς μοῖρα θνητοῖσιν ὀπάζει.
Εἰ δ' ἄρ μή τις Μήνη ὁμοῦ θέοι ἠὲ συνάπτοι,
τόσσοι ἀπ' ἀλλοίων μικτοὶ τελέθουσι τοκήων.
Ἐν δὲ δισώμοις ὅσσοι ὁμοῦ Μήνῃ φορέονται,
ἢ συναφὴν δείκνυντ', ἢ μαρτυρίῃσιν ὁρῶσιν,
δισσοὺς οἵ γε κασιγνήτους θνητοῖσι νέμουσιν.
Εἰ δ' ἐθέλοις δεδαῆσθαι, ἀπαὶ πατέρων μὲν ὁπόσσοι,
μητρῴης δ' ἀπὸ γαστρὸς ὅσοι γεγάασιν ὅμαιμοι,
ὃς μὲν γὰρ φαίνει πατρὸς γόνον, ἣ δ' ἄρα μητρός.
Εἰ δ' ἄρ' ἄχρις φάσιος μηδ' ἄν τινι φωτὶ συνάπτῃ
παμφεγγὴς Μήνη, ζωῷ δέ τ' ὄπισθεν ἰόντι
ἢ Κρόνος ἢ Πυρόεις ἐπιμάρτυροι ἰνδάλλωνται,
ἢ παύρους θῆκαν γνωτούς, ἢ καὶ σπαναδέλφους.
Ταῦτα δὲ ῥέζουσιν καὶ ὅτ' ἂν μεσάτου κατὰ κέντρου
ξυνὰ θέωσ' ἢ ὄπισθεν ἐπαντέλλοντες ὁρῶνται,
κὴν ἐκτὸς κέντροιο, κασιγνήτους ὀλέκουσιν.
Καὶ δὲ καὶ ὡρονομῶν Φαίνων, ὁπόσοι προγένοντο
φωτὸς ἀδελφειοί, πάντας ζωῆς ἀπάμερσεν.
Πολλὰ μὲν οὖν τις τοῖσιν ἐοικότα σήματ' ἀνεύροι
εἵνεκ' ἀδελφειῶν· τέχνας δ' ἐγὼ αὐτίκα λέξω
ἔργα θ' ὁποῖα νέμουσιν ὀϊζυροῖσι βροτοῖσιν.

321. εἰ δ' ἄρ' μήτις μήνη Gr. et sic scriptum t. Mrg. μήνῃ LH. εἰ δ' ἄρ μή τινι Μήνη Dorvill. p. 678. „θέῃ Holst." Mrg.

323. „μήνη script." Mrg. φέρονται LH.

324. „ἡ συναφ. script." Mrg. δείκνυντ' Gr. et LH. δέχνυντ' Dorvill. p. 675.

325. εἰ δὲ θέλοις Gr. et LH. Ego εἰ δ' ἐθέλοις Rigl. ἀπαῖ Gr. et sic scriptum t. Mrg. ἀπαὶ LH.

327. Post hoce versum in margine libri Halecsis auootatom est „deesse videtus aliquis versus." Consentio. Rigler. Immo eoribeodum ὅς μὲν δ' ἄρ Axt.

328. ἣ δ' Gr. ἠδ' LH. „ἠδ' Holst. εἰδ (sic) scriptum" Mrg. ἢ Gr. in annott. „idem testatur (in annott.) εἰδ legi in Mscr.

329. μηδὴν LH. „μηδ' ἣν script. ἣν Holst." Mrg. μηδ' ἂν τινι et alias μὴ σύν τινι Rigler. Ego conieci aliquando μηδ' οὖν. Axt.

333. ταῦτα Gr. et sic script. t. Mrg. ταύτὰ LH.

334. Ζῆνα θέωσ' ἢ Gr. ξυνὰ θέωσ' ἢ LH. Ζηνὶ θ' ἔπωσ' vel Ζῆνά τ' ἰῶσ' Dorvill. p. 302. ὁρῶντο Gr. et LH. Nos ὁρῶνται.

337. φωτὸς Gr. (φῶτες in annott.) et LH.

340. „οἰξυρ. script." Mrg.

Φαίνων ὡρονομῶν Ἑρμοῦ δύνοντος ἔναντα
καὶ Μήνης μεσάτοιο φαεινούσης κατὰ κέντρον,
δεικήλων ξεστῶν καὶ ἐπ' ἀνθηραῖς λιθάκεσσιν
σφρηγίδων γλυφέας τεύχει, τοὺς δ' αὖτ' ἐπὶ χαλκῷ
ἢ χρυσῷ δαιδάλματ' ἢ ἀργύρῳ ἐκτελέοντας,
ἢ ἴκελα ζώοισιν ὑπὸ γλαφυρῇσι τορείαις,
οἳ καὶ ἐπὶ σφετέρῃσι τέχναις μέγα κῦδος ἄροντο.
Εὖτ' ἂν δ' ὡρονομῇ Φαίνων, ζώων δ' ἀνὰ μέσσον
Ἑρμείας ἐφέπῃ, τῷ δὲ Ζεὺς μάρτυρος εἴῃ,
ῥητῆρας μύθων ἀγαθοὺς σοφίης τε μάλ' αἰεὶ
εὐπρεπέας τελέουσι καὶ ἡγητῆρας ἀρίστους
παιδείης· τῶν δ' αὖτε καὶ ἀλλοδαπῆς ἄπο πολλοὶ
εἰςαΐουσι νέοι, ποτὲ δ' αὐτῶν παῖδες ἀνάκτων,
ὧν ἄπο χρήματα πολλὰ κλέος τ' ἄσβεστον ἕλοντο.
Ἐν δ' ὥρῃ Στίλβων βεβαώς, δύνοντι δὲ Μήνῃ,
ἀφνειοὺς γλυκερῷ τε μέγα βρίθοντας ἐν ὄλβῳ·
δυνομένοισι δὲ φωσί, χρεῶν γνωμήτορας ἄνδρας,
οὓς δὲ καὶ ἀλλοτρίων κτεάνων ἰθύντορας ἔρξαν·
καὶ δ' ἄρα καὶ τροπικοῖς μὲν ἐῆς πάτρης διέποντας
χρήματ' ἰδὲ ξυνὸν πλοῦτον στερεοῖσιν ἐπόντες,

341. δύνοντος Gr. et LH. δύναντος superscr. t. Gron., quod placet Dorvill. p. 678.

342. μέσα τοῖο Dorvill. p. 339 et 678. κέντρα Gr. et sic scriptum t. Mrg. κέντρου LH.

343. καὶ ἐπανθηρὴς Gr. et LH. ἐπανθήραις Dorvill. p. 678. ἐπ' ἀνθηραῖς Axt.

344. σφραγίδων Gr. et LH. σφρηγίδων superscr. t. Gr. et sic Dorvill. p. 678.

346. ἢ εἴκελα Gr. ἢ ἴκελα LH. „εἴκελα Mscr. t. Mrg. superscript. ἤϊκελα“ Gr. ἴκελα etiam Dorvill. p. 446. γλαφυραῖσι Gr. et LH. τορίαις Gr. et sic scriptum t. Mrg. τορείαις LH. et sic Dorvill. l. l.

348. ἔστ' ἂν Gr. εὖτ' ἂν LH. cf. Dorvill. p. 334. ζῴων Gr. „ζώιων script.“ Mrg. ζώιον LH. μέσον Gr. et LH. ζώων — μέσσον Dorvill. p. 672.

349. εἴη Gr. et LH. Nos εἴῃ.

351. τελέθουσιν Gr. et LH. τελέουσιν Dorvill. p. 660.

352. τοὺς δ' αὖτε Gr. sed in corrigend. τῶν δ', et sic LH. „ἀλλοδαπῆς ἀπο (sic) scriptum“ Mrg.

353. εἰσεοῦσι Gr. et LH. „fort. εἰσθέουσι“ Mrg. εἰσαΐουσι Dorvill. p. 678.

355. δύναντι mavult Dorvill. l. l.

357. δυομένοισι Gr. et LH. Nos δυνομ.— χρεῶν Gr. χρεών LH. νομήτορας Mscr. t. Gr. et sic LH.

358. ἔρξαν Gr. ἔρξαν LH.

359. κ' ἦν Gr. κ' ἐν LH. aut ἐν δ' ἄρα καὶ τρ. aut καὶ δ' ἄρα καὶ legendum est.

360. χρήματι δὲ Gr. et LH. χρήματ' ἰδὲ

ἑζομένους, ὅθι τ᾿ αἰὲν ἀμείβεται ἀργύρου αἴγλη·
εἰδώλοις δ᾿ ἐνύγροισι Κρόνον καὶ φοίνιον Ἄρην
ξυνὴν ἐξανύοντας ὁδὸν Τιτὰν ὅτε λεύσῃ,
πλωτῆρας νηῶν τε κυβερνητῆρας ἀρίστους
τεύχει, Ζῆνα δ᾿ ὁρῶν, καί τ᾿ ἀπταίστους ἐνὶ πάτρῃ.
Χρυσοφαὴς δ᾿ Ἑρμῆς καὶ παμφαίνουσ᾿ Ἀφροδίτη
ὁππότ᾿ ἂν ἀλλήλων οἴκοις φαίνωνται ἐπόντες,
ἢ καὶ ἐναλλάγδην ὁρίων μοίρῃσι βεβῶτες,
μολπῇσιν γλυκερῇσι μεμηλότας ἄνδρας ἔτευξαν,
ἢ λιγυρῆς κιθάρης ἐπιΐστορας ἠδὲ καὶ αὐλῶν.
Ταῦτα δ᾿ ἄρ᾿ ἐκτελέουσι καὶ ἣν ξυνὴν ἀνύωσιν
οἶμον, τοῦ μὲν ἐπόντος ὅροις, τῆς δ᾿ αὖτε κατ᾿ οἶκον.
Μεσσοτάτῳ δ᾿ εὖτ᾿ ἂν κέντρῳ Θοῦρός τε καὶ Ἑρμῆς
ἕσπωνται κατόπισθε, παλαίστρης ἔργ᾿ ἐφέποντας,
ἢ σθεναροὺς ῥοπάλοισι γεγηθότας ἐξετέλεσσαν.
Εὖτ᾿ ἂν δ᾿ ὡρονομῇ Κυθέρη, Φαέθων δέ τε δύνῃ,
ὑψιφαὴς δὲ Κρόνος κέντρῳ φαίνητ᾿ ὑπογείῳ,
θεσπιστὰς θεόληπτα μεμηνότας αἰὲν ἔθηκαν.
Ταὐτὰ δ᾿ ἄρ᾿ ἐκτελέουσιν ὁμοῦ Κύπρις τε καὶ Ἄρης
κέντρῳ ὕπερθ᾿ ὥρης ἢ καὶ δύναντι βεβῶτες.
Εἰς λίβα δερκόμενος Πυρόεις, Φαίνων δ᾿ ὑπόγειος,
ἦν περ μὴ Φαέθοντος ὑπ᾿ ἀκτίνεσσιν ὁρῶνται,
δηναιὸν μόχθοισιν ὑπ᾿ ἀλγεινοῖς μογέοντας

Dorvill. p. 293. ξοινὸν Gr. et LH. ξοινὸν Dorvill. l. l. στερεοῖσιν Gr. et LH. στερεοῖσι δ᾿ Dorvill. l. „ ἐποντες Gr. et LH.

361. „αἴγλη script.“ Mrg.

362. ἐνύγροισι Gr. δ᾿ post εἰδώλοις delet idem in annott. ἐν ὑγροῖσι LH. et sic Dorvill. p. 339.

363. ξοινὴν Gr. et LH. ξυνὴν Dorvill. l. l. δ᾿ ὅτε Gr. et LH. δ᾿ delet Dorvill. p. 294.

367. ἐποντες Gr. et LH. Nos ἐπόντες cf. Dorvill. p. 294.

368. μοίρεσι Gr. et sic Macr. t. Mrg. μοίραισι LH.

371. ταῦτα γὰρ Gr. et LH. δ᾿ ἄρ᾿ Axt. ξοινὴν Gr. et LH. „αἰ ξυνὴν Holst.“, Mrg.

372. ἐποντος Gr. et LH. ἐπόντος Dorvill. p. 294.

374. „ἕσπονται Holst.“ Mrg.

375. ἐξετέλεσαν Gr. ἐξετέλεσσαν LH.

378. θεόλημπτα Gr. et LH.

379. ταῦτα Gr. et sic script. t. Mrg. ταὐτὰ LH. „ἐκτελεοῦσιν script.“ Mrg.

383. δὴ βαιὸν Gr. δηναιὸν LH. et sic Dorvill. p. 334 et 339.

τεύχουσ', ἀχθοφόρων ζώων βίοτον τελέοντας.
Ἐν δέ τ' ἰσημερινοῖς χηλαῖς Στίλβων ἰδὲ Κριῷ
αἰπυτάτῳ κέντρῳ βεβαὼς ὀλοῷ σὺν Ἄρηϊ,
ἐν χοάνοις χρυσόν τε καὶ ἄργυρον αἰγλήεντα
τήκοντας ῥέζει καὶ ἀμοιβαίοιο χαράκτας
σήμασιν· εἰ δέ γε τοῖσι καὶ Ἥλιος συνέπηται
ἀσσοτέρω, μαλεροῖο πυρὸς τέχνας μογέουσιν
χαλκὸν μαλθάσσοντες ἰδ' ἠερόεντα μόλυβδον,
ἄκμοσί τ' ἐξέλκοντες ἔτι ζείοντα σίδηρον.
Εἰ δ' ἄρα καὶ Φαίνων τοῖσιν συμμάρτυρος εἴη,
ἔνδον ἐφεζομένους παίδων ἡγήτορας ἔρδει.
Αὐτὸν δ' εἰ κε Κρόνον Ζεὺς ἔμπαλιν ἀθρήσειεν
ἣν καὶ ἅμ' Ἑρμείῃ τε καὶ ἄλλοις Κύπρις ὁρῆται
ἐξ ἔργων τοίων πλοῦτον καὶ κτῆσιν ἄροντο.
Εἰ δ' ἄρ' ὑπὲρ κέντρου Μήνη Στίλβοντι συνάπτοι,
ἣν μὲν ἅμ' Ἑρμείῃ καὶ καλλίκομος Κυθέρεια
φαίνηται, καὶ Ζηνὸς ὑπ' ἀκτίνεσσιν ὁρῶνται,
ὄργανα δαιδάλλοντας ἰδ' ἄλλα τε μηχανόωντας,
ἄλλα τε θαυματόεντ' ἔργ', οὐκ ἐπιεικτὰ βροτοῖσιν
τεύχοντας ῥέζει, καί σφιν κλέος ἐσθλὸν ὀπηδεῖ

385. *ἐν δ' ἔτ'* LH. — *δέ τε* Gr. et LH. Nos *ἰδὲ*.

388. Distinctio post *χαράκτας*, quae est in exemplo Gronoviano, non est in LH.

389. *σήμασιν εἰ* Gr. *σήματος εἰ* LH. et sic Mscr. t. Gr. *σχήμασιν* Dorvill. p. 677.

390. *ἀσσοτέρῳ* Gr. sed in corrig. *ἀσσοτέρω* et sic LH.

392. *ἐξέλκοντας* LH. et ita Mscr. t. Gron.

394. *ἐφεζομένους* Mscr. t. Gr. „sic script." Mrg.

395. *καὶ* Gr. et LH. *κε* superscript. t. Gron.

396. *ἢ καὶ* Gr. et LH. Ego reposui *ἣν καὶ* Rigler.

397. *τοιῶν* Gr. et LH.

398. *κέντρον* Gr. *κέντρου* LH. et sic Dorvill. p. 679.

399. *κάλλιμος* Gr. et LH. sed in margine „lege *καλλίκομος*" et sic Dorvill. p. 571. qui tamen etiam *κάλλιμος Ἀφρογένεια* proponit. ibidem.

400. *ὁρῶντο* Gr. et LH. „*ὁρῶνται* Holst." Mrg.

401. *ἰδ' ἄλλα τε* Gr. et LH. Ego conieci *ἰδ' αἰόλα μηχ.* et alias verbis *ἄλλα τε μηχαν.* servatis in seq. versu *πολλά τε θαυμ.* Rigler.

402. *οὐκ ἐπιεικτὰ* Gr. et LH. Suspicatus sum *οὐκ ἔτι δεικτὰ* vel *ἐπιδεικτὰ* Rigler.

403. *ὀπηδεῖ* Gr. et sic script. t. Mrg. *ὀπηδ.* LH.

πρήξιος ἐκ τοίης φιλίη τ' ἀγανῶν βασιλήων.
Τοίην δ' ἢν συναφὴν Μήνης Φαίνων τε καὶ Ἄρης
δέρκωντ', ἐσθλοδόται δέ τ' ἀπόστροφοι ἰνδάλλωνται,
ποιμένας ἀγρονόμους τε βοτῶν ἀγέλας ἐλάοντας,
ἵππων τ' ὠκυπόδων σημάντορας, ἠὲ συφόρβους·
οὓς δ' ἄρα πενθαλέων τύμβων θῆκαν πυλαώρους.
Ὁππότε δ' αὖ κέντρῳ μεσάτῳ Θοῦρος μὲν ἐπείη,
Φαίνων δ' ἕσπηται, τῆμος μάλα μοχθίζοντες
ἀνέρες ἐξεγένοντο, πικρὴν ὀτλεῦντες ὀϊζύν·
ὁπποίην δὲ δύην βιότου κείνων λάχ' ἕκαστος,
ζώδιά τοι κρίνει, τοῖς ἀστέρες ἐμβεβάασιν·
ἐν μὲν τετραπόδεσσ' ἐχυρῶν δωμήτορας οἴκων,
λαοτόμους τ' ἔρδουσιν ὑπὲρ νώτων φορέοντας
ἄχθεα, καὶ λᾶας βριαρούς, ποτὲ δ' ἐκτελέουσιν
ἔργων τεκτοσύνης στάθμης τ' ἐπιίστορας ἄνδρας·
ἐν δ' ἄρα χερσαίοισι, λιθοξόοι ἐξεγένοντο,
ἠέ τ' ἀγάλματα καλὰ τέχναις τεύχοντες ἔῃσιν,
δαίδαλά τ' ἐκτελέοντες ἀπὸ πριστοῦ ἐλέφαντος·
ζώοις δ' ἐν πανύγροισι, λοετροχόοι ὀχετηγοί,
εἰνοδίην κόπρον τε καὶ ὄνθον δηθὰ φέροντες,
κοσμῆται κήπων ἄντλοις ὕδωρ φορέοντες·
εἰ δὲ μεσουρανίῳ κέντρῳ Ζεὺς μάρτυρος εἴη,
τετραπόδων ζώων κοινὴν ὁδὸν ἐξανυόντων,

404. τοιῆς Gr. et LH. φιλίην τ' LH. et sic Mscr. t. Gr. in annott.

405. τοιήνδ' Gr. τοίηνδ' LH. Μήνης Gr. et LH. Μήνη affert. Dorvill. p. 675.

406. δέτ' Gr. δέ τ' LH. ἰνδάλλονται Gr. et LH. ἰνδάλλωνται Dorvill. p. 679.

407. βροτῶν Gr. et LH. βοτῶν Dorvill. p. 412.

410. ἂν LH.

412. „ὀϊξύν script.“ Mrg.

417. πότε Gr. et sic scriptum t. Mrg. ποτὲ LH.

418. ἔργων τε Mscr. t. Gr. „ἔργων τε scriptum. ἔργων Holst.“ Mrg.

419. εἰ δ' ἄρα Gr. et sic script. t. Mrg. ἐν δ' ἄρα LH. ἐγένοντο Gr. ἐξεγένοντο LH. et sic Dorvill. p. 679.

420. τίκτοντες Gr. et LH. Ego τεύχοντες Rigler.

422. παρύγροισι Gr. πανύγρ. LH.

423. ἐνοδίην Gr. et LH. εἰνοδίην Axt.

424. ἄντλοις Gr. et LH. fortasse ἀντλοῖσιν Axt.

426. ζώων Gr. ζώιων — κείνην Gr. et LH. κοινὴν. Rigl.

ἠὲ Κύπρις γ', ἑτέροις ἔργα πρήσσουσιν ὕπερθεν
αὐτοὶ ἐφεστηῶτες εὐκτέανοι τελέθουσιν.
Ταῦτα δ' ἄρ' ἀμφιέπουσι καὶ ἣν κλίνουσ' ἀπὸ κέντρων
ἀστέρος ἄλλου ὅροις Μήνη Φαίνοντι συνάπτοι.
Τιτὰν δ' αὖ Πυρόεις τε δεδορκότες Ἀφρογένειαν
ἱστουργοὺς τεύχουσιν ἐϋννήτοισι μίτοισιν
φάρεά τ' εὖ ὑφόωντας, ἢ αὖ ῥυπόεντα πλυνοῖσιν
εἵματα καλλύνοντας, ἢ ἰσχαλέαις πιερόνησιν
ῥωγαλέους πέπλους ἀσκηθέας ἐκτελέοντας.
Ἢν δὲ Κρόνον Στίλβων ἐσίδῃ σὺν Ζηνὶ βεβῶτα,
ἀθανάτων ζακόρους, σηκῶν θ' ἁγίων ἱερῆας
τεύχει, μαντοσύνας ζαθέης φαίνοντας ἀπ' ὀμφῆς.
Σὺν δ' Ἄρηϊ Κύπρις καὶ ἅμ' Ἠελίῳ παρεοῦσα
αἰθροβάτας τεύχει, σχοίνοις τρίβον ἐξανύοντας.
Ἢν δὲ καὶ Ἑρμείης τοῖσιν συμμάρτυρος εἴη,
ἄχθεα θαυματὰ χερσὶ καὶ ὤμοισιν φορέοντας
ἱπταμένους γυίοις ἐναλίγκιον ὀρνίθεσσιν
πιλναμένους τε νέφεσσιν ὑπ' ἠνεμόεντι πετεύρῳ,
αἰὲν ἀλωομένους ξείνης ἐπὶ πείρασι γαίης.
Ἐν δ' ἄρα δεικήλῳ βροτοειδέϊ σὺν Πυρόεντι
Ἑρμείης βεβαιῶς παίδων πρηκτῆρας ἔθηκεν
πόντον τ' ἐξανύοντας ὑπ' ἐμπορίαις θαμινῇσιν,
ἢ παίδων φύλακας φρουρούς θ' ἥβης ἐρατεινῆς.

427. κύπρις ἑτέροις Gr. et LH. Addidimus γ'.

429. κλείνουσ' Gr. et LH. κλείνουσ' Gr. in annott. „κλίν. Holst." Mrg.

430. ἀστέρος ἄλλον ὅροις μήνη φαίνοντι συνάπτοι Gr. ἀστέρος ἄλλου LH. „videtur desiderari aliquid." Mrg. ἄλλου et ἀστέρ' ἐς ἄλλον Gr. in annott. ἄλλοι Dorvill. p. 679.

432. ἐϋνήτοις τε Gr. ἐϋννήτοις τε Mscr. t. Gr. et sic LH.

433. θ' ὑφανόωντας Gr. et LH. φάρεα ἐξυφόωντας Dorvill. p. 533. φάρεά τ' εὖ ὑφόωντας. Axt. ἢ αὖ Gr. ἢ ἂν LH. ἠ ἰσχαλέης Mscr. t. Gr. ἢ ἰσχαλέης Gr. et LH. πιερ ὄνησιν LH. „φάρεά τ' script." Mrg.

437. σηκῶν τ' Gr. et sic script. t. Mrg. σηκῶν θ' LH.

439. δὲ Gr. δ' LH. σὺν δ' Ἄρει Herm. ad Orph. p. 750. ἅμα Gr. ἅμ' LH.

442. θαύματα Gr. et LH. Nos θαυματὰ scripsimus.

443. ἱπταμένοις Gr. et LH. Nos reposuimus ἱπταμένους.

444. πιδναμένους Gr. et LH. πιλναμένους Dorvill. p. 608. πετεινῷ Gr. et LH. πετεύρῳ Dorvill. l. l.

Ἢν δ' αὐτοὺς Κρόνος αἰνὸς ἐπὶ ζώου πτερόεντος
δέρκητ', ἠὲ καὶ αὐτοὶ ἐνὶ πτερόεντι πέλωνται,
ἰχθυβόλους τεύχουσ', ἁλίων δεδαηκότας ἔργων,
ὀρνίθων τε θοῶν θηρήτορας ἠὲ τιθηνούς,
οὓς δὲ καὶ ὠμοβόρων θηρήτορας ἠὲ τιθηνούς,
δαμναμένους τιθασοῖσιν ὑπ' ἤθεσι πρηΰνοντας.
Εἰ δὲ μέσον κέντρον Πυρόεις Φαίνων τ' ἐφέποιεν,
μοίραις δ', ἅς κε θέωσ' αὐτοί, ἑτέροιο τύχοιεν,
μηδέ τις εὐεργῶν κείνων χῶρον καθορώῃ,
τέχνῃσιν μυσεραῖς λυγρὸν βίον ἐξανύουσιν.
Ἤτοι γὰρ νέκυας μαλερῇ πνείοντας ὑπ' ὀδμῇ
γαστέρας ἀμπτύξαντες ἰδ' ἔγκατα πάντ' ἀφύσαντες
χρίουσιν κέδρου κυαναυγέος ἔνδοθι πίσσῃ,
Ἤ τοί γ' εὐχανδεῖ χαλκῷ κοίλοις τε λέβησιν
πυθομένοις μέλδουσιν ἅμ' ἰχθύσιν οὐλοὸν ἅλμην.
Ἦμος δ' Ἑρμείαο δόμοις καλὴ Κυθέρεια
σύν τ' αὐτῷ Στίλβοντι φαείνητ' ἠδέ θ' ὅροισιν
ἀλλήλων βεβαῶτες ἐναλλάγδην φορέοιντο,
θειῄσιν σοφίῃσι κεκασμένοι ἐξεγένοντο
ἀνέρες· ἢ γὰρ μέτρα μακρῆς χθονὸς ἐξεδάησαν
ἧσιν ἐπιφροσύνῃσιν, ἢ ἐνθέντες πραπίδεσσιν
ἀθανάτων ἔργων φύσιος πέρι μητιόωσιν.

450. *πυρόεντος* Gr. et LH. *πτερόεντος* Dorvill. p. 679.

451. *ἢ κ' αὐτοὶ* Gr. et LH *ἠὲ καὶ αὐτοὶ* Dorvill. p. 336.

453. *τε βοῶν* Gr. et LH. *τε θοῶν* Dorvill. p. 412.

454. „Hunc versum non habet Holst.“ Mrg.

455. *πρηΰνοντα* Gr. et LH. tuetur Dorvill. p. 679. Nos *πρηΰνοντας*.

457. *Μοίραις δ' ἀσκεθέως* Gr. (et vertit *partibus autem illaesis*) *μοίραις δ' ἅσ* (sic) *κε θέωσ'* LH.

459. *μυσεραῖς* Gr. et LH. Quidni *μυσαραῖς*? Rigl.

460. „*μαλερῆς* — *ὀδμῆς* Holst.“ Mrg. *πνίοντας* Gr. et LH. Nos *πνείοντας*.

462. *χρείουσιν* Gr. et LH. „*πίσσης*; Holst.“ Mrg.

463. *εὐχανδεῖ* Gr. et LH. Ego aliquando conieci *ἐν χανδῷ*. Rigl.

466. *αὐτῷ* Gr. *αὐτῷ* LH. *φαείνητ' ἠδέ τ' ὅροισιν* Gr. *φαείνῃ. τῇ δ' ἐτ' ὅροισιν* LH.“ „*ἔθ'* scribendum“ Mrg.

468. *θειῇσιν* Gr. et LH. „*θειῄσιν* Holst“ Mrg. *σοφίῃσιν* Mscr. t. Gr. et sic LH.

470. *ἐνθέντες* Gr. et LH. „forte *ἀρθέντες*“ Dorvill. p. 679.

471. *ἔργων* Gr. et LH. „scribe *ἔργον*“ Mrg.

Εἰ δ' ἄρα καὶ Φαίνων τούςδ' ἀκτίνεσσιν ὁρῴη,
μάντεις ἀστρονόμοι οἰωνοπόλοι τ' ἐγένοντο,
ἐκ σπλάγχνων τε βροτοῖς θυέων ἄπο θεσπίζοντες,
ἢ μάγοι ἀῤῥήτοισι θεοὺς καλέοντες ἀοιδαῖς.
Εἰ δ' Ἑρμῆς μὲν ὅροις Ζηνὸς πέλοι, ὃς πάλι δ' Ἑρμοῦ,
κεῖνοί τ' ἀλλήλους φιλίαις ἀκτῖσιν ὁρῷεν,
παίδων ἡγητῆρας, ἀγακλῆεῖς τ' ἐτέλεσσαν
ῥητῆρας μύθων σοφίῃσι τε πάμπαν ἀρίστους.
Ὡς δὲ καὶ ἢν ὥρης μὲν ἔχῃ κέντρον σοφὸς Ἑρμῆς,
αὐτὰρ ἐπαντέλλῃ Παφίη, τοίους ἀνέφηναν,
πρὸς δ' ἔτι καὶ πάσης τέχνης ἄρχοντας ἐν ἔργοις,
ὄργανα θέσκελ' ἰαῖς πολυμηχανίῃσι τελοῦντας.
Ζηνὸς δ' ἐν καθύγρῳ ζῴῳ βροτοῦ ὡρονομοῦντος
ἢν Φαίνων ἐφέπῃ, πουλύπλαγκτόν περ ἔθηκαν
ἐμπορίῃ, νηός θ' ἡγήτορα ποντοπόροιο.
Εἰ δ' Ἑρμῆν λεύσσει Κρόνος σφετέροις ἐν ὅροισιν
αὐτὸς ἐὼν ἢ ζῷον ἔχων ἑόν, ἐξετέλεσσαν
γειοπόνους ξείνοισι γεγηθότας, οὐκ ἰδίοισιν
μούνοισιν, μισθοῦ δὲ καὶ ἄλλων κλῆρον ἔχοντας·
Ξυνὴν δ' ἐξανύοντες ὁδὸν Φαίνων Κυθέρη τε
καὶ Θοῦρος, θείῃσιν ἐπιπνοίῃσι μογεῦντας
θῆκαν καὶ μανίῃ μακάρων ἄπο φοιβάζοντας.
Ἀλλήλων δ' ἐπιβάντες ὅροις Φαίνων Πυρόεις τε

472. *τοὺς δ'* Gr. *τούςδ'* LH.

474. fortasse *θυέων τ' ἄπο.* Axt.

475. *ἀῤῥήτοισι* Gr. et LH. *ἀῤῥήκτοισι* Mscr. t. Gr., quam scripturam revocat. Idem in annott. Placuit etiam Dorvill. p. 490.

476. *ἔμπαλι δ' Ἑρμοῦ* Gr. et LH. distinctio post v. *ἑρμοῦ*, quae abest ab exemplo Gron., apparet in LH. et ita distinxit. etiam Dorvill. p. 679. Idem conjecit *ὃς πάλι δ' Ἑρμοῦ.* ibid.

477. *κεῖνοι γ'* Gr. et LH. *κεῖνοι τ'* Axt. *ἀλλήλων* Gr. et LH. *ἀλλήλους* Dorvill. p. 679.

480. *ἔχοι* Gr. et LH. „*ἔχῃ* Holst." Mrg.

481. *τοίους συνέφηναν* Gr. *τοίους αὖ ἔφηναν* LH. et sic Mscr. t. Gr. in annott. „scribe *τοίους ἀνέφηναν*" Mrg. et sic Dorvill. p. 679., sed p. 496. probat. Gronovianam *συνέφ.*

482. *δέ τε* Gr. et LH. Nos. *δ' ἔτι.*

483. „*ἔῃς* Holst." Mrg.

484. *βροτὸν* Gr. et LH. Nos *βροτοῦ.*

485. *ἐφέσπηται* Gr. *ἐφέπηται* LH. *ἐφέπῃ* Dorvill. p. 672. *πολυπλ.* Gr. et LH. *πουλυπλ.* Dorvill. l. l.

486. *νηὸς ἡγήτ.* Gr. et LH. Nos scrips. *νηός θ' ἡγ.*

492. *θειῇσιν* Gr. et sic script. t. Mrg. *θείῃσιν* LH.

δείκηλον κατὰ ταὐτὸν ἠ' ἀντιπέρην βεβαῶτες,
θήκας τεκταίνοντας ἀποφθιμένοισι βροτοῖσιν,
ἠὲ πυραῖς μαλερῇσι νεκροὺς αἴθοντας ἔτευξαν,
ἢ θρηνεῦντας ἀεὶ κεραοῖς ἐπιτύμβιον αὐλοῖς.
Εἰ δ' Ἑρμῆς τούτοις ἐπιμάρτυρος ἠὲ καθ' αὐτοῦ
ζῶον ἔοι, κλῶπας, ληΐστορας, ἀνδροφονῆας,
ἢ ναύταις ὀλοῇσιν ἐπ' ἀκταῖς κῆρας ἄγοντας
ῥέζει, ἀτὰρ θανάτοιο τέλος τετληότας αἰνόν,
πρίν γε θανεῖν, κρυερῇσι δαϊζομένους ὀδύνῃσιν.
Ὁππότε δ' αὖθ' οἴκους μοιρῶν θ' ὅρι' ἀλλάξωσιν
ἀλλήλων Κύπρις τε καὶ εὐφεγγὴς θοὸς Ἑρμῆς,
αὐλῶν ἢ κιθάρης ἢ ἀοιδῆς ἠὲ ῥυθμοῖο
ἠὲ καὶ ὀρχηθμοῦ βητάρμονας ἄνδρας ἐόντας
θῆκαν, καὶ χλεύῃσι λάλους μάχλοις τ' ἐπέεσσιν
τέρποντας, τραγικῆς τε βαρυβρόμου ἴστορας οἴμης,
αἰὲν ἐπ' εὐρυχόροισιν ἀλωομένους θυμέλῃσιν.
Εἰ δέ θ' ὅροις Ἑρμοῦ Τιτὴν, αὐτός θ' ἅμ' ἐκείνῳ
Ἑρμείης φαίνηται, ἀεθλητῆρας ἔτευξεν
κὴν μὲν δὴ τούτοισι συνῇ καλὴ Κυθέρεια,
κυδάλιμοι νίκῃσι πολυστεφέες τ' ἐγένοντο.
Εἰ δὲ Κρόνος κατέναντ' ἐπιμάρτυρος ἢ τετράγωνος
ἠὲ συνὼν φαίνηται, ἐπὶ χθόνα πᾶσαν ἀλῶνται

495. *κατὰ ταὐτὸ* Gr. *κατὰ* (sic) *τ' αὐτὸν* LH. *κατὰ ταὐτὸν* Dorvill. p. 679. *ταὐτὸ καὶ ἀντιπέρην* Herm. ad Orph. p. 750.

496. *θῆκας* Gr. *θήκας* LH.

498. *θρηνητὰς* Gr. et LH. *θρηνεῦντας* Dorvill. p. 679. Idem: *καὶ θρηνητὰς εὐκεράοις ἐπιτ. αὐλ.* p. 680.

499. *ἠὲ κατ' αὐτὸν* Gr. et LH. *καθ' αὐτοῦ* Dorvill. p. 682.

500. *κλῶπας* Gr. *κλωπὰς* LH. „*κλῶπος* script." Mrg.

501. *ἢν αὐταῖς — ἐπακταῖς* Gr. *ἢν αὐταῖς — ἐπ' ἀκταῖς* LH. *ἢ ναύταις — ἐπ' ἀκταῖς* Gr. in annott.

502. *ἄτερ* Gr. (qui tamen vertit sed) et LH. dubius est Dorvill. p. 382.

506. *ἠὲ ῥυθμοῖο.* Gr. et LH. Fortasse *εὐρυθμ.* Axt.

508. *θῆκαν ἢ* Gr. et LH. *θῆκαντ'* Dorvill. „*μαχλοῖς* script." Mrg. Nos *θῆκαν καί.*

511. *τίτην* Gr. *τιτὴν* LH.

514. „*κυδάλιμοι* Holst." Mrg. *νίκαισι* Gr. et LH. *πολυστεφέεσσ'* Gr. sed in annott. scribi iubet *πολυστεφέες τ' — πολυστεφέες'* Mscr. t. Gr. *πολυστεφέες* LH. Fort. *πολυστεφέεσσι γεν.*

516. *ἀλῶνται* Gr. et sic script. t. Mrg. *ἀλ.* LH.

ἀστεφέες ψαφαροί τε μάτην σταδίοισι μογεῦντες.
Ὡρονόμον δ᾽ ἀκτῖσιν ἑαῖς λεύσσουσα Κυθήρη,
ἐκ πυρὸς ἢ πολιοῖο τέχνας ὤπασσε σιδήρου.
Ἣν δ᾽ Ἑρμῇ χῶρον καθ᾽ ἑὸν βεβαῶτι συνάπτῃ
ἢ σύμφωνος ὁρῆται ὑπὸ Στίλβοντι Σελήνη,
αἰόλα δαιδάλλοντας ἑαῖς χείρεσσιν ἔφηναν
ἐκ πριστοῦ ἐλέφαντος ἢ ἐκ Λύγδοιο φαεινῆς
εὐτήκτου τ᾽ ἀπὸ κηροῦ ἐϋξεσταῖς σανίδεσσιν
μορφὰς μιμηλῇσι χαρασσομένους γραφίδεσσιν.
Μέσσῳ δ᾽ ἐν κέντρῳ Θοῦρος σφετέροιο κατ᾽ οἶκον
Ἑρμῇ ὁμοτροχάων τέχνας ὤπασσε βαναύσους.
Εὖτε Σεληναίη δὲ μεσουρανίου ἀπὸ κέντρου
κλίνῃ, ἀτὰρ Φαίνων τε καὶ Ἄρης κέντρῳ ἐπῶσιν,
τῆμος, ὅσοι φῦσαν, νεκροστόλοι ἐξεγένοντο,
ἢ φρουροὶ νεκύων τύμβοις ἔνι ναιετάοντες.
Εἰ δὲ γυναικὸς ἔῃ γενέθλη, τοῖσιν δὲ συνείῃ
Ἀφρογενής, τεγέεσσιν ἐφήμεναι αἴσχεα δρῶσιν.
Ὁππότε δ᾽ ὡρονομῇ Στίλβων ζῶον κατὰ θῆλυ,
δεικήλῳ δ᾽ ἐνὶ θηλυτέρῳ καὶ Μήνη ἐπείῃ,
ὡρονόμῳ δὲ Κρόνος τε καὶ Ἄρης ὁππότε κέντρῳ
αἰπυτάτῳ ἐφέπωνται, ὀϊζυροὶ γεγάασιν
φῶτες· Δινδυμίῃ γὰρ ἀγείρονται κατὰ δήμους,
καὶ πόλιας πλάζονται ὁμοῦ ῥόπτροις τε καὶ αὐλοῖς,

517. *ψαφαροί* Gr. et LH. Aliquando conieci *ψαφαροῖς*. Rigler.

518. „Deest initium sequentis aphorismi" Mrg. *ὡρονόμον* Gr. *ὡρονόμου* LH.

520. *βεβαῶτι* Gr. et sic Holst. t. Mrg. *βεβαότι* LH. *συνάπτοι* Gr. et LH.

323. *λυδοῖο* Gr. et LH. *λύγδοιο* Dorvill. p. 300.

324. *εὐξεστ.* LH.

525. *μιμητῇσι* Gr. et LH. „*μιμητοῖσι* Holst." Mrg. Ego coniec. *μιμηλῇσι* Rigl. *χαρασσόμενοι* vel *χαρασσομένου* Mscr. t. Gr. *-σσομένου* LH.

528. *εὖτε* Gr. *εὖτε* LH.

529. *κλείνῃ* Gr. et LH. *κέντρῳ* Gr. et sic Holst. t. Mrg. *κέντρον* LH. *ἐπωσιν* Gr. et LH.

531. *ἐνιναιετάοντας* (sic) LH.

532. *ἐῇ γενέθλῃ* Gr. et LH. *ἐῃ γενέθλῃ* Mscr. t. Gr.

533. *στεγέεσσιν* Gr. et LH. *τεγέεσσιν* Dorvill. p. 681. *-αἴσχια* Gr. *αἴσχεα* LH.

537. *ἐφέποντai* Gr. et LH. „*ἐφέπωνται* Holst." Mrg.

538. *διδύμῃ* Gr. (sed vertit *Cybelae*) et LH. *δινδυμέῃ* Gr. in annott. et sic etiam Dorvill. p. 681.

χερσὶν ἑαῖς κόψαντες ἄφνω τεκνοσπόρον αἰδῶ.
Ἀλλὰ γὰρ οὔτις θνητὸς ἐὼν πάσας κε δύναιτο
πρήξιας ἢ τέχνας εἰπεῖν, ὅσσας μερόπεσσιν
ἀστέρες ἐν στέρνοισιν ἐμοιρήσαντο δρόμοισιν.
Ἑξείης δ᾽ ἤπειτα σίνη περὶ σώματα θνητοῖς
ὁππόσ᾽ ἐπεκλώσαντο, καὶ ὁπποίας κατ᾽ ἀταρπούς,
ἐξερέω μάλα παῦρ᾽, ἐπεὶ οὔτινα φῶτ᾽ ἐνὶ τόσσοις
ἀσκηθῆ καὶ ἄνουσον ἄχρις θανάτοιό γ᾽ ἐφεύροις.
Εὖτ᾽ ἂν δὴ ζώῳ Πυρόεις ἐπιόντι βεβηκὼς
ἀμφοτέροις σελάεσσιν ὁμοῦ βεβαῶσιν ἕπηται,
ὀφθαλμῶν σέλας ἀμφοτέρων ἤμερσε βροτοῖσιν·
ἢν δὲ Σεληναίῃ μούνῃ τῆμος σέλας ἁγνὸν
ληγούσῃ, ἑτέροιο φάος κανθοῖο σινώσει·
ταὐτὸ δὲ καὶ δυνούσῃ ἐπερχόμενος πάθος ἔρδει.
Ἢν δύνοντα δ᾽ Ἄρην κατίδῃ Κρόνος ἠὲ καὶ Ἑρμῆν,
ἢ μανίην ἢ νοῦσον ὀρίνουσιν βροτῷ ἱρήν.
Ὣς δὲ καὶ ἢν Φαέθων δύνῃ, ὥρην δ᾽ ἐφέπωσιν
Ἑρμῆς καὶ Πυρόεις, μανίην πραπίδων τελέουσιν.
Καὶ μὴν καὶ Τιτῆνος ἀνερχομένου ἅμα Μήνῃ,
ἐκ περάτης δύνοντες ὁμοῦ Φαίνων τε καὶ Ἄρης
λυσσήρεις πινυτοῦ τε νόου παραβλῆτας ἔτευξαν·
Εἴκελα κῆν Πυρόεντος ὁμοῦ Μήνῃ ὑπὲρ ὥρης
τελλομένου ἕτερον Φαέθων δύνῃ κατὰ κέντρον.
Ἑρμῆς δ᾽ ὡρονομῶν σύν γε Κρόνῳ ἀντιπέρηθεν

540. Fortasse pro *ἄφνω* legendum *ἄφαρ*. Axt.

543. Pro *ἐμοιρήσαντο* legendum suspicor *ἐδωρήσαντο*, et, pro *ἐν στέρνοισιν αἰθερίοισι* vel *ἀενάοισι* Axt. Mihi in mentem venit *ἀστέρες οὐρανίοισι* Rigler.

548. *Ἔν τ᾽* Gr. *Εὖτ* LH. et sic Dorvill. p. 334.

552. *ληγούσῃ* Gr. (sed vertit *finienti*) et LH. *ληγούσῃ* Dorvill. p. 681.

553. *τ᾽ αὐτὸ* LH. *ἔρδει* Gr. et LH.

556. „*ἢ φαέθ.* script.“ Mrg.

558. *Ναὶ μὴν* Gr. et LH.

559. *ἐκ παράτης* Mscr. t. Gr.

560. *πινυτούς* Gr. (sed vertit *sapienti.*) „Nescio an opus“ Dorvill. p. 681. *πινυτοὺς* etiam LH. sed in margine „scribe *πινυτοῦ*.“

561. *κ᾽ ἢν* Gr. et LH.

562. *τελλομένου* Gr. ex coniect. *τελλοσαένου* LH. et sic Mscr. t. Gr. in annott. „fort. *ἀντέλλουσ᾽*“ Mrg. *τελλομένου* Dorvill. p. 681.

563. *σύν τε* Gr. et LH. Ego *σύν γε* Rigl.

δύνοντος Ζηνὸς πραπίδων νόον ἠμάλδυνεν,
ἄφρονά τ' ἐξετέλεσσ' ἀποφώλια μητιόωντα.
Μήνης δ' ἐν φθινύθοντι φάει πρόδυσιν κατὰ πάντα
Ἠελίου μέτα παμφεγγοῦς, ἑτέρων δ' ἐπιόντων
δυνομένῳ ἐν κέντρῳ μάλα δὴ φράζεσθαι ἄνωγα·
οἱ μὲν γάρ τ' ὀλοοὶ κῆρας καὶ δείματ' ἄγουσιν
εἰδώλων τε βροτοῖς ἰνδάλματα δαίμοσιν ἶσα,
καὶ ζαθέαις ὀμφῇσι κλεϊζομένους ἀνέφηναν.
Ὣς δὲ καὶ ἢν Φαέθων Ἄρην δύνοντα διώκῃ
ἐξόπιθ' ἑσπόμενος, λύσσαν μανίας τ' ἐπιβάλλει.
Ὁππότε δ' ὡρονομῇ μὲν Ἄρης, δύνῃ δὲ Σελήνη
ἀμφί γε κυρτωθεῖσα φάει Φαίνοντος ὅροισιν,
τῆμος ἄρ' αἴσχιστοι φύντες θνητοὶ περὶ μορφὴν
ὀστέα δὴ νώτου σφετέροις φορέουσιν ἐπ' ὤμοις.
Σὺν δὲ Κρόνῳ βαίνουσαν ἐπὴν Κυθέρειαν ἀθρήσῃ
Ἄρης ἢ τετράγωνος ἢ ἀντιπέρηθε βεβηκώς,
μήδε' ἀποτμήγουσ' ἰδ' ἐφημέρου εἵνεκα φορβῆς
ἀλλοτρίῃσι θυρῇσιν ἐφεστηῶτες ἀλῆται
γίγνονται, πενίην αἰεὶ συνοπηδὸν ἔχοντες.
Σὺν Παφίῃ δὲ Σεληναίην λεύσσων κλυτὸς Ἄρης
ἄνδρας μὲν μάχλους καὶ ὀπιπευτῆρας ἔτευξαν,
θηλυτέρας δὲ λέχος μισθοῦ δήμοις παρεχούσας.
Ὁππότε δ' ἀλλήλων ὁρίοις Κύπρις τε καὶ Ἄρης
φαίνωνται ξυνὸν ζώων δρόμον ἐξανύοντες,

564. δύναντος Gr. δύνοντος LH.
565' „μητιό- script.“ Mrg.
566. πρὸ δύσιν Gr. (sed vertit *vestibulum*.) Idem proponit in annott. πρόδυσιν vel potius πρόλυσιν) πρὸ scriptum t. Mrg. πρὸς δύσιν LH. πρόδυσιν Dorvill. p. 681.
568. δυομένων Gr. et sic script. t. Mrg. δυομένῳ LH. δυνομένῳ Dorvill. p. 681.
570. Dubitanter pro βροτοῖς βροτῶν proponit Dorvill. p. 265.
571. ὀμφαῖσι Gr. et LH.
573. ἐξόπισθ' LH. „ἐπιβάλλῃ Holst. t. Mrg.
575. ἀμφί τε Gr. et LH. Ego ἀμφί γε. Rigl.
576. ἄσχιστοι LH.
577. νώτοις Gr. et LH. νώτων vel δὴ νώτοις Dorvill. p. 681. διανώτοις Weigel in addenda ad Schneideri lexic. Equidem νώτου. Rigl.
580. μηδὲ Gr. μήδε' LH. et sic Gron. in corrig. — ἀποτμήγουσιν Gr. et LH. Nos ἀποτμήγουσ' ἰδ'.
582. γείνονται Gr. et LH. Nos γίγνονται.
583. λεύσσων Gr. et LH.
587. φαίνονται Gr. et LH.

ζωροπότας, κώμοισι γεγηθότας, ἔν τε μέθῃσιν
ὃν βίοτον τελέοντας, ἐπ' ἀλλοτρίαις δὲ γυναιξὶν
κρυπταδίαις τ' εὐνῇσι μεμηνότας ἄνδρας ἔτευξαν.
Εἰ δὲ Κρόνος τοῖσιν μάρτυς πέλοι, αἴσχεσιν αἰνοῖς
ἀμφέβαλεν· τοῖσιν γὰρ ἀεὶ Κύπρις στομάτεσσιν.
Εὖτ' ἂν δ' Ἠελίῳ συνίῃ κερόεσσα Σελήνη
ἀμφοτέρων μέσσοιο φαεινομένου Πυρόεντος,
τοῖσι δ' ὁμοῦ βεβαῶσι Κρόνος τετράγωνος ὁρῆται,
τῆμος ἐνὶ στέρνοισι χολὴ ζείουσα μέλαινα
ἀνθρώποις παρέπλαγξε νόον, λύσσαν τ' ἐπορίνει,
[ἢ ἐξ ὑγρῶν νούσων θανάτου τέλος ἠὲ καθύγρων·
λυσσήρεις δὲ τελεῦσι, φρενοβλαβίην τ' ἐπάγουσιν]
Δύνοντες Τιτάν τε καὶ ὦκα θέουσα Σελήνη,
ἣν δ' ἐπὶ συνδέσμου Μήνη θέῃ Ἄρεος ἄντα
ἢ τετραγώνου ἐόντος, ἀνιηροὶ τότε φῶτες
οἴστρῳ ἐπ' εἰδώλοις κενεοῖς νόον ἐπτοίηθεν.
Εἰ δὲ Σεληναίης Πυρόεις καθυπέρτερος εἴη,
ἤ ὅγε δὺς ὑπ' ἐκείνῃ ἔῃ, συνοχῇσιν ἔδησεν.
Εὖτε δὲ καὶ Φαίνων Μήνῃ ἐπιμάρτυρος εἴη,
ὑστάτιον θανάτοιο βίῃ τέλος ἐξανύουσιν·
ἔξοχα δ' αὖτε σινοῦσι βροτοὺς πληγῇσι σιδήρου
ἢ νούσοις ἱερῇσιν Ἄρει Μήνη συνιοῦσα
τέτρασιν ἐν κέντροισι καὶ ἀντιόωσ' ἐπὶ κέντροις.
Εἰ δέ τε καὶ Φαίνων ὀλοὴν ἀκτῖνα βάλῃσιν,
ἄχθεσιν ἢ λάεσσι δόμων τ' ὀροφῇσιν ἔθλιψεν.

588. „γεγηт." script." Mrg.

593. *εἴ τ' ἂν* Gr. *εὔτ' ἂν* LH. et sic Dorvill. p. 534.

596. *ζίουσα* Gr. et LH. Nos *ζείουσα*.

597. *παρέπλαξε* LH.

598. *ἢ ἐξ ὑγρῶν* Gr. et LH.

599. *ἐπάγουσι* LH. Versus 598 et 599. nos uncis inclusimus.

601. *θοός* Gr. et LH. „forte *θοοῦ*" Mrg. sed lineola transverse per has voces ducta est. Nos *θέῃ*.

602. *ἀνιηροὶ* Gr. et LH. „*ἀνιαροὶ* Holst." Mrg. *φῶτες* Gr. et LH *φῦντες* suspicatur Gr. in annott.

605. *ἢ ὅγε δύσις ἐπείῃ* Gr. et LH. *δυνούσῃ ἐπίῃ* Dorvill. p. 681. Ego *Ἤ ὅγε δὺς ὑπ' ἐκείνῃ ἔῃ* Rigl.

606. *εὖτε* Gr. *εὖτε* LH.

607. *ἐξανύωσιν* Gr. et LH. *ἐξανύουσιν* Rigler.

608. „*αὖτο* (sic) scriptum" Mrg.

609. *ἱεραῖσιν* Gr. et LH. „*ἱερέσιν* Macr." Mrg. idem testatur Gr. in annott.

Εἰ δέ τ' ἀπ' ἀκτίνων Ἄρεος φεύγουσα Σελήνη
Φαίνοντι χρυόεντι συνάπτοι δερκομένοιο
Στίλβοντος, δειναῖς νεύρων νούσοισι χαλέπτει.
Ἀργαλέοις δὲ σίνεσσι βροτοὶ κάμνουσι, καὶ Ἄρης
ὁππότε δύνῃσιν Μήνης σὺν τοῖς κατιούσης
καὶ Κρόνου αἰπυτάτοιο γονῆς ὥρην ἐφέποντος.
Εἰ δέ τε Μήνην μὲν Φαίνων, Τιτῆνα δὲ Θοῦρος
λεύσσειεν κατέναντ' ἢ μαρτυρέοι τετράγωνος,
ὅσσοις ἀμφοτέροισι βροτοῖς σίνος ἐκτελέουσιν.
Εὖτ' ἂν δ' ὥρης μὲν Πυρόεις κατόπισθεν ἕποιτο,
φῶτα δ' ἄρ' ἀλλήλοισι φαείνηται διάμετρα
ἢ τετράγωνα, σίνεσσι δυσαλθήτοις μογέουσιν,
ὡς καὶ ἐπεσβολίῃσι θεοὺς στοβέειν ἐπὶ νούσῳ.
Ἀλλ' εἰ μὲν Ζεὺς τοῖσι φίλος καὶ μάρτυρος εἴη,
κινδύνων ῥύεταί τε καὶ ἐκ καμάτων ἐσάωσεν.
Ἀντία δὲ Ζηνὸς λεύσσων Κρόνος ἄλγεα τεύχει
ἕξειν, καὶ πενίην τε σίνη τε χερείονα δῶκεν.
Τόσσα μὲν ἀμφὶ νόσους, ἐπὶ δ' εἴκελα τοῖσι δύναιτ' ἂν
φράζεσθαι μάλα πολλὰ νόῳ πεπνυμένος ἀνήρ·
λέξω δ' αὖ μετέπειτ', ὡς ἐκ κτεάνων τε καὶ ὄλβου
Αἶσα κακὴ κρυερὴν πενίην ἐπὶ φῶτας ἀγινεῖ.
Κλήρων ἐξελάουσι βροτοὺς Φαίνων Πυρόεις τε,
ὃς μὲν πρόσθεν ἰὼν Ὑπερίονος, ὃς δέ τ' ὄπισθεν.
Ταῦτα δὲ καὶ μεσάτου ῥέζει κλίνας ἀπὸ κέντρου
ἀστήρ, οὗ γε δόμος κεδνὸς τόδε κέντρον ἐτύχθη.
Καὶ μὴν καὶ Πυρόεις βεβαὼς ζώῳ βιότοιο

617. *δύνῃσι* LH. *μήνης* Gr. *μήνη* LH. *αὐτοῖς* Gr. *σὺν τοῖς* LH. *μήνη σὺν τοῖς* Mscr. t. Gr. in annott. Codicis scripturam revocat Dorvill p. 339. *κατιούσης* Gr. et sic Holst. t. Mrg. *κατ' ἰούσης* LH.

620. *λεύσει, ἐνκατέναντ'* Gr. *λεύσειεν κατέν.* LH. *λεύσει ἐν κατ.* Mscr. t. Gr. in annott. Ipse proposuit *λεύσειεν κατέν.* ibid.

621. *ὅσσοις* Gr. et sic scriptum t. Mrg. *ὁσσοις* LH. et sic correxit Gr. in annott.

622. *εὖτ'* Gr. *εἴτ'* LH.

625. *ἐπεσβολίαισι — σοβέειν* Gr. et LH. *στοβέειν* scribendum vidit invenis harum literarum studio egregie deditus mihique indicavit. Axt.

628. *ἀντιὰ* script." Mrg.

633. *ἀγείνει* Gr. et LH. Reposuimus *ἀγινεῖ*.

637. *τότε* dubitanter coniec. Dorvill. p. 681.

638. *Ναὶ μὴν* Gr. et LH.

ἔξόπιθ' ὡρονόμοιο πατρώϊα πάντ' ἐκέδασσεν·
εἴξοχα δ' εἴ κ' αὐτῷ συνέῃ κερόεσσα Σελήνη.
Τὼς δ' ἀστὴρ παρεὼν ῥέζει σφετέροιο κατ' οἶκον,
ἐς λίβ' ὅτ' ἂν δυτικῷ κέντρῳ κατόπισθ' ἐπιδύνῃ·
καὶ δ' ἄρα καὶ κλήροιο τύχης μεδέων ἀπάμερσεν
ὄλβον, ὅτ' αὐτὸς ἔοι κλήρου βαίνων προπάροιθεν.
Πρὸς δὲ μεσουρανέοντες ὁμοῦ Φαίνων τε καὶ Ἄρης
κλῆρον ἢ οὐκ ἐμέρισσαν ἢ αὖ δόντες γ' ἀπάμερσαν·
Ὡς δὲ καὶ εἰ τόδε κέντρον ἀπὸ πλευρῆς τετράγωνοι
ἢ διάμετροι ὁρῷεν, ἄφνω ἀπενόσφισαν ὄλβον·
ἐν πενίῃ δὲ μογεῦσι καὶ ὅσσοις φῶτα δύ' ὥρην
μὴ λεύσῃ, πάμπαν δέ τ' ἀπόστροφον οἶμον ὁδεύῃ.
Εἰ δ' ἄρα δὴ Μήνην δεκατεύωσ' ἀστέρες ἄμφω
Ἄρεος ἠδὲ Κρόνοιο, Διὸς δέ τ' ἀπόστροφος ἀστὴρ
εἴῃ, ὀϊζυροὶ καὶ ἀχρήμονες ἐξεγένοντο·
ἔξοχα δ' εἰ καὶ ζῶον ἐπαντέλλον μετόπισθεν
Μήνης ἐκ Ζηνὸς κενεὸν καὶ ἀμάρτυρον εἴη·
δευόμενοι βιότου γὰρ ἀγείρουσιν κατὰ ἄστυ·
εἰ δὲ Διὸς μὲν ὁρῷτο, μέσου Ὑπερΐονος, αἴγλη,
κέντρον δ' ἀμφὶς ἔχωσι τόδε Κρόνος ἠδὲ καὶ Ἄρης,
ὃς μὲν ὑπερτέλλων, Ἄρης δέ τ' ὄπισθε διώκων,
ὄλβου καὶ κτεάνων οἶκον πλήθοντα κένωσαν.
Ἢν δὲ μεσουράνιον κέντρον κενεὸν Διὸς εἴη,

643. *τύχης μελέων* Gr. *μελεῶν* LH. *κληροῖο Τύχης μεδέων* Dorvill. p. 676.

644. *ὄλβον* Gr. *ὄλβου* LH. *βαίνων* Gr. et LH. *βαιόν* Dorvill. l. l. *ἴοι* Gr. et LH. *ἔοι*. Axt.

646. *οὐκ ἤμερσαν ἢ αὖδοντες*. Gr. *οὐκ ἠμ. ἢ αὖ δόντες* LH. „*αὖδοντες* scriptum" Mrg. Ego conieci *κλῆρον ἢ οὐκ ἐμέρισσαν* et alias *οὐκ ἐπένειμαν* Rigler. *γ'* post *δόντες* addidi. Axt.

647. *ὥστε* Gr. et LH. Ego *ὡς δὲ* Rigl. *τετράγωνος* Gr. et sic script. t. Mrg. *τετράγωνοι* LH. et sic correxit Gr.

648. *διάμετροι ὁρόων* Gr. „*διαμέτροιο ὁρόων* script." Mrg. *διαμέτροιο ῥόων* Mscr. t. Gr. *διάμετροι ὁρῷεν* LH. et sic Dorvill. p. 504.

649. „*μογεύσοι* Mscr." Mrg. *δυιώρην* Gr. et LH. *δύ' ὥρην* Dorvill. p. 674.

651. *δεκατέτως* Gr. et sic script. t. Mrg. *δεχοίατο* LH. *δεκατεύωσ'* Dorvill. p. 338 et 681.

654. *μετ' ὄπισθεν* LH.

655. *καινεὸν* LH. et sic Mscr. sed *κεν* superscript. t. Gr. „*κενεὸν* Mscr. et Holst." Mrg.

658. *τότε* suspicatur Dorvill. p. 681.

659. *δέτ'* Gr. *δ' ἔτ'* LH.

οἱ δ' ὀλοοὶ ἑκάτερθε φαείνωσιν, τότε θνητοὶ
οὐ μόνον ἐν πενίης κρυερῆς κάμνουσιν ἀνίαις,
ἀλλὰ καὶ ἐν δεσμοῖς θανάτου τέλος ἐξανύουσιν.
Ἦμος δ' αὖ Πυρόεντος ἀποῤῥείουσα Σελήνη
ὥρῃ ἐφέσπηται, συναφῇ Φαίνοντι συνοῦσα,
κέντρον δ' αὖτε μεσουράνιον Φαέθων διέπῃσιν,
τερφθέντες πλούτῳ γλυκερῷ μετόπισθε πένονται,
οἱ δὲ καὶ ἐν συνοχῇσι καὶ ἐν δεσμοῖς ἐγένοντο.
Εἰ δέ γ' ἐναλλάξαντες ὅρους ἢ ζῶα θέωσιν
ἀλλήλων Πυρόεις τε καὶ Ἑρμῆς χρυσοπέδιλος,
σὺν Διῒ δ' Ἠέλιος κέντρον κατέχων ὑπόγειον,
ἐκ προτέρου βιότου κτεάνων τ' ἄφαρ ἐξεκύλισσαν,
θωάς τ' ἀλλοτρίων τεχνέων ἄτας τ' ἐπάγουσιν.
Εἰ δὲ μεσουρανέοντα Κρόνον βάλλῃ Κυθέρεια
ἢ Φαέθων, πατρῷα βροτὸς κατὰ πόλλ' ἀπολέσσας
αὖθις ἀπ' ἀλλοτρίων κτεατίσσεται ἄρκιον ὄλβον.
Ἢν δ' Ἄρης διάμετρος ἔῃ, κἢν ἄσπετά γ' εἴῃ
ἐς κρυερὴν πενίην πάλιν ἵξεται, ἣν πρὶν ἔλειπεν.
Ἢν δὲ καὶ Ἠελίῳ Μήνη συνέῃ κατὰ κέντρον
ἐκ Κυθέρης ἢ Ζηνὸς ἀμάρτυρος, ἀλγινόεσσα
πάγχυ πέλει γενέθλη προτέρου τητωμένη ὄλβου.
Παῦρα μὲν ἐκ πολέων ἀμφὶς πενίης τάδε λυγρῆς
ἤϊες· αὐτὰρ νῦν δμώων γενέθλης πέρι λέξω·

662. δὲ Gr. δ' LH.

663. ἀνείαις LH. „ἀνίαις Mscr.“ Mrg.

665. ἦμος δ' ἦν Gr. ἦμος δ' ἦν LH. ἀποῤῥέουσα Gr. et LH. Restituimus ἀποῤῥείουσα.

666. ὥρῃ ἐφέσπηται συναφὴν Gr. et LH. in quo tamen post ἐφεσπ. interpunctio posita est, „ὥρῃ script.“ Mrg. Nos συναφῇ.

673. ἐξεκύλισσεν Gr. et LH. ἐξεκύλισσαν Dorvill. p. 681.

674. θωάς τ' Gr. et LH. θωγάς τ' Mscr. t. Gr. et Mrg. τέχνεων Gr. τεχνέων LH. τέκνων suspicatur Dorvill. p. 681.

675. καλῇ Gr. et sic script. t. Mrg. βάλλῃ LH.

676. πατρῶια LH. πατρῷα Gr. κατὰ πόλλ' Gr. et LH. κἂν πόλλ' Dorvill. p. 641. μάλα πόλλ' Axt.

678. „Vestigia sunt in Mscr., ac si desit integrum folium, sed textus cohaerens metum aufert“ Mrg.

680. κέντρου Gr. κέντρον LH.

684. ἤϊες Gr. ἤεισ' LH. ἢ εἰς Mscr. t. Gr. ἤϊες Dorvill. p. 678.

τώς κε διακρίνειεν ἀνὴρ τάδε θέσφατα εἰδώς.
Εὖτε Σεληναίης καὶ Κύπριδος ἀστέρες αἰνοὶ
Φαίνων ἢ Πυρόεις ἀμφοῖν καθύπερτερέοιεν,
δμῶες καὶ δμώων τοκέων τοί γ' ἐξεγένοντο.
Εἰ δ' Ἀφροδίτην μὲν Φαίνων καὶ Ἄρης καθορῷεν,
Μήνη δ' αὖ Φαέθων τε Κρόνος τ' ἐπιμάρτυροι εἶεν,
δουλοσύνην προφυγόντες ἐλεύθερον ἦμαρ ἴδοιεν.
Ἦμος δ' Ἠέλιον Φαίνοντά τε πυρφόρος Ἄρης,
Κύπριν δ' αὖτε Κρόνος χρυσεραῖς ἀκτῖσιν ὁρῴη,
ἐκ δμώων γεγαῶτες ἑοῖς εἴκουσιν ἄναξιν.
Εἰ δὲ Κρόνῳ μὲν ἰδ' Ἡελίῳ μάρτυς πέλοι Ἄρης
Ζεὺς δὲ Σεληναίῃ τε καὶ Ἀφρογενεῖ, θεράποντος
πατρὸς ὁ φὺς ἔσται, μήτηρ δέ τ' ἐλευθέρη αὐτῷ.
Ὁππότε δ' αὖ κερόεσσα Σεληναίη ὑπόγειον
ἢ δυτικὸν κέντρον διέπῃ, τετραγώνου ἐόντος
ἠὲ κατ' ἀντιπέρην ὀλοοῦ Κρόνου, αὐτὰρ Ἄρηος
ἀστὴρ σὺν Παφίῃ ἢ καὶ διάμετρος ὁρῷτο
ἢ τετράγωνος ἔοι, μητρὸς πέλοι ἀμφιπόλοιο.
Ἢν δὲ Κρόνος κέντροιο λαχὼν Μήνην ἐσορῴη
ἢ Τιτῆν', ἕτερον δὲ φάος Πυρόεις καθορῆται,
ἀμφοτέρων δμώων τοκέων φράσσαιο γεγῶτα.

685. *τῶς κε* Gr. et LH. „*τῶς καὶ* Holst." Mrg. Fortasse *πῶς κε* Axt.

686. *εὖτε* Gr. *εὖτε* LH. *ἀστέρες* Gr. *ἀστέρας* Mscr. t. Gr. et sic LH. quod restitui iussit Dorvill. p. 681.

687. Malim pro *ἢ* scribi *καὶ* Axt. *καθύπερθε ῥέοιεν* Gr. *καθυπερτερέοιεν* Mscr. t. Gr. *καθυπέρτερ' ἴοιεν* LH. „*-τε ῥέοιεν* Mscr. videtur unâ voce scribend." Mrg. *καθυπερτερέοιεν* Dorvill. p. 335 et 681.

688. *τότ' ἐξεγένοντο* Gr. et LH. *τοί γ'* Rigl.

689. *καθορῶεν* Gr. et sic script. t. Mrg. *καθορῷεν* LH.

690. *μήνη* Gr. et sic script. t. Mrg. *μήνη* LH. *ἐπιμάτυροι* Gr. sed in corrigend. *ἐπιμαρτ.* „*-μάρτυρος* script." Mrg.

691. *ἶμαρ* Gr. *ἦμαρ* LH.

693. *ὁρώη* Gr. et LH.

694. *ἑοῖς ἔχουσιν* Gr. et LH. *εἴκουσιν* Axt.

696. *σεληναίη* Gr. *σεληναίῃ* LH. et sic etiam Dorvill. p. 681.

697. *δέτ'* Gr. *δ' ἔτ'* LH.

700. *ἢ* LH. „*ἠὲ* „Holst." Mrg.

701. *καὶ διαμ.* Gr. et LH. *ἢ καὶ διαμ.* Dorvill. p. 315. *ὁρῶτο* Gr. et LH. *ὁρῷτο* Dorvill. l. l. p. 336.

702. „Fort. *πέλει*" Mrg.

704. *τίτην'* Gr. et LH.

Καὶ δὲ καὶ ὁππότ' ἂν ἐν κέντρῳ Μήνη μὲν ἐπείη,
ἄλλῳ δ' αὖ Κρόνος ἐν κέντρῳ κατόπισθεν ἕποιτο
νυκτιφαῆς δὲ Σεληναίῃ Πυρόεντι συνάπτοι,
δουλοσύνης ζυγὸν αἰὲν ὑπ' αὐχέσιν οἶσι φέρουσιν.
Εἰ δὲ μεσουρανέοι Φαέθων, Μήνη δέ τ' ἀπ' αὐτοῦ
ἅρμ' ἐλάοι, κατόπισθε δ' ἐπαντέλλοντι συνάπτοι,
ἄστρων οὐλομένων ἑτέρων μαλερῇσιν ὑπ' αὐγαῖς
δερκομένου ἑτέροιο, γονὴν δούλειον ἔτευξαν.
Ὁππότε δ' ἂν κέντρων ἐρατὴ κλινθεῖσα Σελήνη
εὐεργῶν μήδ' ὅσσον ἔχῃ ἐπιμάρτυρον ἄστρων,
οἱ δ' ὀλοοί, Φαίνων τε καὶ Ἄρης, ἠὲ καθ' ὥρης
ἐμβεβαῶτες ὁρῶνται ἢ ὡρονόμῳ τετράγωνοι
ἠὲ τρίγωνοι ἔωσιν, ἐλευθερίης τότε θνητοὶ
παυσάμενοι δούλειον ὑπὸ ζυγὸν ἄφνω ἄγονται.
Δμῶες δ' αὖτ' ἐγένοντο, καὶ ὁππότε φάεα δοῖα
Μήνης καὶ Τιτῆνος ἀποκλίνωσ' ἀπὸ κέντρου,
ἢ συναφὴν τεύχωσ' ὀλοεργέσιν ἀστράσιν οἶδε,
μὴ Διὸς αὖ λύσαντος ἢ ἁβροκόμοιο Κυθήρης.
Εὖτ' ἂν δ' ὡρονόμῳ Φαίνων Κύπρις τ' ἰσόμοιροι
ἐμβεβαῶτες ὁρῶνται, ἀεὶ θεράποντας ἔθηκαν,
οὐχ ἑνός, ἄλλοτε δ' ἄλλῳ ὑποδρήσσοντας ἄνακτι,
δηθάκι καὶ σφετέρου πιπρησκομένους ὑπὸ πατρός.
Εἰ δὲ καὶ Ἠέλιος τοῖσίν γ' ἐπιμάρτυρος εἴη,

706. *καί δέ κεν* Gr. et LH. Ego *καὶ δὲ καὶ* Rigler.

707. *ἄλλῳ δ' αὖτ' ἐν κέντρῳ κρόνος* Gr. et LH. *ἄλλῳ δ' αὖτε κρόνος κέντρῳ* Dorvill. p. 681. Nos: *ἄλλῳ δ' αὖ κρ. ἐν κέντρ.*

709. *οἶσιν* LH. et sic Mscr. t. Gr.

710. *δέτ* Gr. *δέ τ'* LH.

711. *ἅμμ'* Gr. *ἄμμ'* LH. „fort. *ἅρμ'*" Mrg. *ἅρμ'* et *ὑμμ'* Dorvill. p. 681.

712. *ἑτέρων* Gr. et sic script. t. Mrg. *ἕτερος* LH.

713. *δούλιον* LH. „*δούλειον* Mscr." Mrg.

717. *ὁρῶντο* Gr. et LH. Nos *ὁρῶνται.* — *ὡρονόμῳ* Gr. *-νόμου* LH.

721. *τίτηνος* Gr. *τιτηνος* (sic) LH. *ἀποκλείνουσ'* Gr. *ἀποκλίνουσ'* LH. Restituimus *ἀποκλίνωσ'*.

722. *τεύχουσιν* Gr. et LH. *ἄστρασιν* Gr. et sic script. t. Mrg. *ἀστράσιν* LH.

723. *μήτινος αὐλέσαντος* Gr. *μὴ διὸς αὖ λύσαντος* LH. „superscript. *αὐλυσαντος*" Gr. „*μήτενος αὖ λευσ.* script." Mrg. *ἁβροκ.* Gr. *ἀβροκ.* LH.

724 *εὖτ'* Gr. *εὖτ'* LH.

726. *ἀπὸ* Gr. et LH. *ὑπὸ* Axt.

καὶ δεσμοὺς ὀτλεῦσὶ κακῇ ὑπὸ δαίμονος ἄτῃ.
Ἄστρων μὲν δὴ τοῖα, καὶ ὅσσα γε τοῖσιν ἔοικεν
σχήματα δυσγενέων δμώων τεύχει λυγρὰ φῦλα.
Αὐτὰρ ἐγὼ μάλα μὲν πυκιναῖς πραπίσιν δεδάηκα·
γαστέρος ἐκπροφέρωσ' ἃ μογοστόκοι Εἰλείθυιαι
ἀλλ' οὐκ ἀσφαλέως τις ἀείδοι τήνδε γ' ἀοιδήν·
μαντοσύνῃσι γὰρ ἂν τοίαις χόλος ἐκ βασιλήων
ἕσπεται, ὅν τε χρεὼ σοφὸν ἀνέρα δῆθ' ἀλεεῖναι·
τῷ δὴ τόνδε γε μῦθον ἐγὼν ἄῤῥητον ἐάσω.
Αὐτὰρ νειατίην ἐλάων περὶ νύσσαν ἀοιδὴν
ἤδη χἠμετέρης γενέθλης μεμνήσομαι ἄστρων,
ἦχι πέλε, ζῴοισί τ' ἐν οἷς ὥρη πέλ' ἐκείνη,
τῇ μ' ἀπὸ γαστρὸς ἔφηνε πολύλλιτος Εἰλείθυια,
ὄφρα καὶ ὑστατίοισι μετ' αἰώνεσσι δαέντες
πείθωνται, τά τ' ἐμοὶ δωρήσατο Μοῖρα δεδάσθαι
ἄστρων ἰδμοσύνην τε καὶ ἱμερόεσσαν ἀοιδήν.
Ἥλιος μὲν ἔην Διδύμοις, τῷ δ' αὖθ' ἅμα καλή.
Κύπρις καὶ Φαέθων ἐρατὸς καὶ χρύσεος Ἑρμῆς,

729. ὀ τλεῦσι Mscr. t. Gr.

732. „πινυκαῖς Holst." Mrg. Post hunc versum haec in margine annotata sunt" hic versus unus aut plures desunt. Textus clamat, licet in Mscr. non notetur defectus."

733. γαστέρος ἐκπροφέρωσι Gr. γαστέρος ἐκ προφέρωσι LH. γ. ἐκ προφέρωσ' ἃ Dorvill. p. 340. γαστέρος ἃ προφέρωσι Axt.

734. ἀφαλέως Gr. sed in corrigend. ἀσφαλ. Idem in LH. ἀΐδοι Gr. et LH. Nos ἀείδοι. —τήν δέ γ' Gr. et sic scriptum t. Mrg. τήνδε γ' LH.

735. Fort. μαντοσύνῃσι γὰρ ἂν τοίαις Rigl. μαντοσύναις τοίῃσι γὰρ ἂν χόλος. Axt. τοίῃ vel γὰρ ἂν τοίῃ Dorvill. p. 682.

736. ἕσπεται Gr. et LH. ἕσσεται Dorvill. p. 682. χρεῶ Gr. χρεὼ LH. τήν δ' Gr. τήνδ' LH. ἀνέρ' ἄτην τ' Gr. in annott. τήν τ' Dorvill. l. l. δῆθ' Axt. fort.

737. τόν δέ τε Gr. τόνδε τε LH. γε. Axt ἄγων Gr. ἐγὼν LH. ἑκὼν vel ἐγὼν Dorvill. p. 682. βάσω Gr. et LH. „fort. ἐάσω" Mrg. et sic Gron. in annott. et Spitzner de v. h. p. 44.

739. κ' ἡμετέρ. Gr. χ' ἡμ. LH. et sic Dorvill. p. 682. Fort. δὴ καί θ' ἡμετ.

740. „ἦχι scriptum" Mrg. πέλεν Gr. et LH.

741. τὴν Gr. et LH. Nos τῇ μ'—. ἔφηνε πολυ. Gr. ἔφυν id. coni. in annott. ad v. 602. ἔφηνε πολ. LH. et sic (ad Diod. V, 73) Wesseling., quem laudat Dorvill. p. 339. εἰλιθυῖα Gr. εἰλείθυια LH. „εἰλιθυία script." Mrg.

743. τάδ' Gr. et LH. τάτ' Axt.

744. εἰμερ. Gr. „εἱμερ. script. ἱμερ. Holst." Mrg. ἱμερ. LH.

745. ἐὴν Gr. ἔην LH.

Ὑδροχόῳ δὲ Σεληναίη Φαίνων τε καὶ ὥρη,
πουλυπόδῃ δ' Ἄρης ἐν Καρκίνῳ, ἀμφὶ δὲ μέσσον
οὐρανὸν ἐστρωφᾶτο βέλος Κένταυρος ἀνέλκων·
τῶς μὲν ἐμὴν γενέθλην Μοῖραι διετεκμήραντο.
Αὐτὰρ ἐγὼ Μούσῃσι καὶ αἰθερίοισιν ἅμ' ἄστροις
εὐξάμενος λιγὺν ὕμνον ἐμὴν καταπαύσω ἀοιδήν·
ἀστέρες εὐφεγγεῖς, Διὸς αἰγιόχοιο θύγατρες,
ἵλατε καὶ κλέος αἰὲν ἐμῇ πορσύνετ' ἀοιδῇ.

747. ὑδρηχόῳ Mscr. t. Gr. (in corrig.)
749. κένταυρος Gr. κένταυρον LH. ἀνέλκων Gr. et LH. „scribe ἀνέλκον", Mrg.
753. Fortasse Διὸς αἰγιόχου τε.
754. Ἵλατε Mscr. t. Gr.
In calce huius libri Μανεθ. ἀποτελ. βιβλίον ς. τετέλεσται Gr. et LH., in quo deinde subscript. ΘΕΩ. ΔΟΞΑ.

INDEX VERBORUM

CONFECTUS A FR. A. RIGLERO.

Α.

ἆ II, 309. III, 94. 172. IV, 413.
ἀβίους IV, 113
ἀβλαβέας IV, 106.
ἄβουλα IV, 549.
ἁ β ρ ο κ ό μ ο ι ο VI, 723. (κυθήρης.)
ἁ β ρ ο κ ό μ ῳ II, 446 (κυθερείῃ.)
ἄβρωτα IV, 255.
ἀγαθὰ II, 485.
ἀγαθὰς II, 392 (πρήξιας). 476. III, 125. 241.
ἀγαθῇ II, 484. V, 109.
ἀγαθὴν I, 449 (φήμην). III, 349.
ἀγαθῆς III, 299 (μοίρης.)
ἀγαθῇσι III, 105.
ἀγαθοὶ III, 115. IV, 513 (φύσιν) VI, 51.
ἀγαθοῖσι IV, 466 (ἐν τόποις.)
ἀγαθὸν IV, 363.
ἀγαθὸς II, 484. III, 269. IV, 513. V, 256.
ἀγαθοὺς II, 386. III, 126. VI, 236. 350.
ἀγαθῶν I, 358. II, 201. 411. III, 115.
ἀγακλέας I, 183. 228 (ἀνθρώποισιν) II, 362. III, 74. 324.
ἀγακλειτοὶ III, 219 (βασιλῆες.)
ἀγακλειτοὺς II, 413.
ἀ γ α κ λ η ε ῖ ς III, 324 353. VI, 478.
ἀγάλλεται II, 501.
ἀγαλλομένη V, 166.
ἀγαλλόμενοι III, 17 V, 296.
ἀγαλλόμενος II, 404 (βασιλείοις.)
ἀγαλλομένους III, 351.
ἀγγάλλονται III, 358.
ἀγάλματα VI, 420 (καλά).
ἀ γ α λ μ ο τ υ π ε ῖ ς IV, 570.
ἄγαν II, 75. 406. III, 109.
ἀγαναὶ VI, 137.
ἀγανῇσιν VI, 137.
ἀγανῶν VI, 404 (βασιλήων.)
ἀγάπησαν III, 154.
ἀγαπήσει V, 235.
ἀγαπῶνται V, 294 (ἐξ ἀλόχων.)
ἀγαπῶντας IV, 495.
ἀγαπῶντες IV, 433.
ἀγαυότατος II, 131.
ἀγαυοτάτου II, 14 (Gr. διαγαυότατοι.)
ἀγγέλλει IV, 253.
ἄγει III, 247 (πενίην βροτοῖς.)
ἄγειραν II, 262 (πλοῦτον, χρήματα.)
ἀγείρονται VI, 538.
ἀγείροντες VI, 299.
ἀγείρουσι VI, 656.
ἀγέλαις III, 240.
ἀγέλας VI, 407.
ἀγεληδὸν IV. 424.
ἀγήνορα II, 284.
ἀγήνορι III, 384 (θυμῷ.)
ἀγηνορίῃσι II, 373.
ἀγητοὺς II, 224, 351. III. 33, 209. 223.
ἀγινεῖ II, 62. VI, 633.
ἀγίων VI, 437.
ἀγκαλίσαιτο I. 45. 351.
ἀγκυλομήτην IV, 425.
ἀγκῶνα II, 79.
ἀγκῶνος II, 69.
ἁγνὴν IV, 454.
ἁγνὸν VI, 27 (φάος μήνης). 551 (σέλας).
ἀ γ ν ο σ τ ρ ό φ ο ν VI, 105 (nunc repositum ἀπόστροφον.)
ἀγνώμονα V, 338.
ἀγνώμονες V, 82.
ἁγνῶς V, 331.
ἀγνῶσι IV, 626 (μέτροις.)
ἀγνῶτα VI, 149.
ἄγονοι VI, 275 (τεκέων.)

ἄγονται II, 275. III, 197. VI, 144. 201. 119.
ἄγοντας IV, 301. 443. VI, 501.
ἀγορανόμον I, 101.
ἀγορῇ III, 31. 213.
ἀγορῇσι II, 259. 296. III, 336. VI, 186.
ἄγουσαι IV, 506 (*νύκτας.*)
ἄγουσι VI, 569.
ἀγραύλους IV, 337.
ἀγρευτῆρι V, 279 (*λίνῳ.*)
ἄγρια II, 293.
ἀγρίη IV, 246.
ἀγρονόμους VI, 407.
ἀγρονόμων IV, 247 (*κτηνῶν.*)
ἀ γ ρ υ π ν η τ ῆ ρ ε ς I, 81.
ἀγρῶν II, 448.
ἀγύναιοι I, 173 (ex emend.)
ἀ γ υ ρ τ ῆ ρ α ς IV, 221.
ἄγχι II, 121. VI, 50.
ἄγχιστα VI, 117 (*γενεῇ τινι.*)
ἀγχονόωντα I, 319. (Gr. *ἀγχονέοντα.*)
ἀγχοῦ II, 24.
ἀγωγῇ IV. 246.
ἄγων II, 111.
ἀγῶνας III, 358 (*κατά.*)
ἀγῶνες I, 221.
ἀδελφειοὶ VI, 255. 337.
ἀδελφειοῖσι III, 139.
ἀδελφειοὺς III, 10.
ἀδελφειῶν VI, 11. 307. 338.
ἀδίδακτος IV. 58.
(*ἀ δ ί κ η λ α* II, 16 vox depr.)
ἀδόξους IV. 31.
ἀδρανέες I, 165, II. 409.
ἀδρανέστερα II, 421.
ἀδροτάτους IV, 442.
ἀδύτων IV, 9. (*ἱερῶν.*) V, 1.
ἀεθλητῆρας III. 375. VI, 512.
ἀέθλων III, 354. IV, 40.
ἀεὶ I, 23. 133. II. 28. 169. 174. 201. 264. 294. 480. III, 72. 105. IV. 58. 353. 522. 533. V. 74. 337. VI. 114. 145.
ἀείδοι VI, 734 (*τήνδε γ' ἀοιδήν.*)
ἀ ε ι θ α ν ή ς I. 166 (*ἦτορ.*)
ἀεικέα I. 233 (*πήματα*). III, 88. VI, 296.
ἀεικέας III, 278.
ἀεικελίαις III, 171.
ἀεικελίην III. 60.
ἀεικέλιοι II, 220.
ἀεικελίοις III, 259 (*ὑπὸ δεσμοῖς.*)
ἀεικέλιον VI, 6.
ἀεικέος I, 86.
ἀ ε ι κ ώ μ ο υ ς IV, 301.
ἀεικῶς et *αἴστως* confus. II, 429.
ἀείμνηστον I, 138 (*λύπην.*)
ἄειραν III, 165 (*ὑψοῦ.*)
ἀείρας III, 67 (*εἰς οὐρανὸν αἰπύν.*)
ἀειρόμενοι II, 219.
ἀεῖσαι I, 360. III. 399. VI. 7.
ἀείσαμεν II, 57. 349.
ἀείσω I, 402. III, 7. 227.
ἀενάοιο I, 207.
ἀηδεὶς V, 50.
ἀθανάτοισιν I, 127. 198.
ἀθανάτων VI, 437. 471 (*ἔργων.*)
ἀθεμίστια II, 301 (*ἔργα*)
ἀθέμιστον I, 43 (*λέχος.*)
ἀθέους II, 301.
ἀθερίζει VI, 217.
ἀθέριξαν II, 282 (*ἀλλήλους.*)
ἄθεσμοι, IV 304.
ἀθέσμους III,154 (*κυθέρης πρήξεις*) IV, 119.
ἀ θ ε σ μ ο φ ά γ ο ς IV, 564.
ἀθλητῆρας IV, 173.
ἄθλοις IV, 175.
ἀ θ ρ ε ι ο μ έ ν ο υ VI, 60.
ἀθρῇ IV, 271.
ἀθρῆσαι IV, 465.
ἀθρήσας III, 244.
ἀθρήσει VI, 44 (Gr. *ἄθρης.*)
ἀθρήσειε VI, 395.
ἀθρήσῃ III, 327. IV, 471. V, 44. VI, 53. 578.
ἀθρήσουσι IV, 557 (*τέλος βίου.*)
ἀθρῶν I, 321. IV, 395.
αἴ κεν I, 73 (c. coni.)
αἴ τε II, 276.
αἶαν II, 26. 46 (Gr. *οἶον.*)
αἰγιόχοιο VI, 753.
αἰγίοχος I, 150.
α ἰ γ λ ά ζ ο ν τ ε ς IV, 264.
αἴγλη VI, 361 (*ἀργύρου*). 657.

αἴγλη VI, 28.
αἰγλήεις IV, 25. 153. 425.
αἰγλήεντα VI, 387 (ἄργυρον.)
αἰγλήεσσα IV, 347 (ἀκτίς).
αἴγλην IV, 187. VI, 231.
αἴγλης IV, 207. VI, 32.
αἴγλῃσι II, 6.
αἰγλοβολήσῃ IV, 188. 224.
Αἰγοκερῆος II, 93 (θοοῦ.)
Αἰγόκερῳ I, 106. III, 14.
Αἰγόκερως II, 140. IV, 23. V, 246.
Αἰγύπτοιο I, 2. 15.
αἶδε VI, 178.
ἀϊδεῖς II, 33.
αἰδεῖται I, 98 (c. partic.)
ἀΐδηλος II, 26.
Ἀΐδην I, 330. 336. IV, 405.
ἀϊδίους II, 297 (Gr. εἰδίας.)
Ἅιδην IV, 411.
Ἀΐδος I, 193 (μέλαθρον.)
Ἀΐδόσδε I, 52.
αἰδοῦς III, 396.
αἰδῶ VI, 297. 540.
αἰεὶ I, 170. 239. II, 11. 34. 66. 107. 201. 257. 357. 363. 486. 489. III, 13. 54, 55. IV. 223. 449. 539. V. 54. VI, 225.
αἰὲν II, 9. 62. 278. 478. III, 103. IV, 19. 60. VI, 9. 63. 210. 215. 217. 278. 709. 754.
αἴης V, 72.
Αἰήτου II, 120.
αἰθαλόεις IV, 319. 366. 552. (ἀστὴρ Ἄρεος.)
αἰθέρα I, 291. II, 1. IV, 472. 620.
αἰθέρι IV, 279.
αἰθερίην IV, 6 (κέλευθον.)
αἰθέριον V. 147.
αἰθερίοις VI, 751 (ἄστροις.)
αἰθέριος I, 176.
αἰθερολαμπῆ IV, 29. (οὐρανόν μέσον.)
αἰθερονωμῶν IV, 25.
αἰθερόπλαγκτον IV, 182.
αἰθερόπλαγκτος IV, 9 (φύσις.)
αἰθέρος II. 9. 98. IV. 14. 79. 172. 509.
αἰθομένου V, 51 (πυρός.)
αἴθοντας VI, 497.
[αἴθρει (vox corr.) V. 254.]
αἴθρην III, 231. IV, 453. 466.
αἴθρης II, 47. 131. III, 231. IV. 94. 453. 480.
αἰθροβάτας IV. 278. VI. 440.
αἰθροβολήσῃ IV, 224.
αἰθροδόνητον IV, 298.
αἰθροπλανὴς IV, 586 (Ζηνὸς ἀστήρ.)
αἰθροπολεύων II, 83 (ἐν καρκίνῳ).
αἰθροτόκου IV, 339 (γονῆς.)
αἴθρωπα (Gr. αἴθωπα) IV, 165 (κέλευθα.)
αἰθύσσοντα II, 5.
αἴθωνι III, 30 (πυρετῷ.)
αἴλινος I, 340.
αἰμάσσουσιν I, 244.
αἵματι I, 317. IV. 50.
αἱματοπώτιδες IV, 616.
αἱμηρῆσι (sed vd. annot.) I, 338.
αἱμοβόρου V. 186.
αἱμορέοντες (sed vd. ann. critic.) IV, 305.
αἵμυλα II, 330.
αἱμυλίους IV, 60.
αἰνὰ III, 251. 257. 397.
αἰνὴ III, 338.
αἰνὴν I, 273 (κακίην.)
αἰνόγαμοι III, 148.
αἰνογένεθλοι I, 145.
αἰνοῖς VI, 591.
αἰνομόρους I, 213.
αἰνὸν I, 41 (μόρον). 178 (σίνος). 223 (τέλος). 254 (βρόχον). 261. (μόρον). 357 (Κρόνον). VI, 502.
αἰνὸς I, 83. 274 (βίος.) 327. VI, 64. 450.
αἰνότερα (sed vid. annot crit.) I, 126.
αἰνοῦ VI, 76.
αἰνοὺς II, 442.
αἰνῷ I, 187.
αἰνῶν III, 271.
αἰνῶς III. 278.
αἰόλα II, 320. VI. 522.
αἰολοπάλας (sed vide annot. crit.) IV, 173.
αἰπὺν III, 67. 262.
αἰπυπλανὴς IV, 249.
αἰπὺς III, 234 (Κρόνος.)

αἰπυτάτοιο VI, 618.
αἰπυτάτῳ VI, 116. 194. 227. 301 (ἐπὶ κέντρῳ). 386. 537.
αἱρήσεται IV, 89.
αἷς II, 497. III, 421.
αἶσα I, 330. IV, 405. VI, 20. (κακή). 633.
ἄϊστοι II, 57 (Gr. ἄριστοι.)
ἀΐστως III, 28. 263.
αἴσχεα I, 118. II, 182. 269. 381. III, 150. 395. VI, 533.
αἴσχεσιν II, 183. VI, 591.
αἴσχιστοι VI, 576.
αἰσχίστως I, 21.
αἰσχρὰ III, 162. 337.
αἰσχρεοκερδεῖς IV, 314.
αἰσχρεόμυθος IV, 57.
αἰσχρεορήμονας IV, 445.
αἰσχρεόφημοι IV, 592.
